*Cura mihi, studium non leue cuius erit.*
*Quo iuuet ad citharam ductare regente choreas,*
*Cumq; bonis animo sim meliore uiris.*
*Ne, quem terra tulit longinqua, ferocibus ausis*
*Lædam, aut qui patrio sit satus orbe, uirum.*
*Conscia mens recti fac te regat, optima dicent*
*Hi tibi, mox alij uerba molesta uiri.*
*Hic culpare bonos, non hic laudare ueretur,*
*Huic bene, fama loquax quem minus urit, erit.*
*Viuit in his terris culpæ sine crimine nemo,*
*Cui bene? quem curet rarior alter homo.*
*Nemo fuit lapsis, nec erit uenientibus annis,*
*Qui cunctis adiens tartara nigra placet.*
*Qui regit omnipotens hominum genus, atq; Deorum,*
*Iupiter ex omni parte placere nequit.*
*Gnomone, seu torno, qui oracula lance requirit,*
*Obseruare modum rectius ille uelit.*
*Cui responsa Deus Pythone docente ministrat,*
*Ex adyto pingui quæ data mente notat.*



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-120808-p0079-8

Οὔτε τι γὰρ προσθεὶς, οὐδὲν κέ τι φάρμακον εὕροις,
Οὔτ' ἀφελὼν πρὸς θεῶν ἀμπλακίην προφύγοις.
Χρῆμ' ἔπαθον θανάτου μὲν ἀεικέος οὔ τι κάκειον,
Τῶν δ' ἄλλων πάντων Κύρν' ἀνιηρότατον.
Οἵ με φίλοι προὔδωκαν, ἐγὼ δ' ἐχθροῖσι πελασθεὶς
Εἰδήσω καὶ τῶν, ὅν τιν' ἔχουσι, νόον.
Βοῦς μοι ἐπὶ γλώσσης κρατερῷ ποδὶ λὰξ ἐπιβαίνων
Ἴσχει κωτίλλειν, καίπερ ἐπιστάμενον.
Κύρν' ἔμπης δ' ὅ, τι μοῖρα παθεῖν, οὐκ ἔσθ' ὑπαλύξαι,
Ὅττι δὲ μοῖρα παθεῖν, οὔτι δέδοικα παθεῖν.
Ἐς πολὺ ἀρρήκτον κακὸν ἥκομεν, ἔνθα μάλιστα
Κύρνε, σὺν ἀμφοτέρους μοῖρα λάβοι θανάτου.
Οἳ δ' ἀπογηράσκοντας ἀτιμάζουσι τοκῆας,
Τούτων τοι χώρη Κύρν' ὀλίγη πέλεται.
Μήτε τιν' αὖξε τύραννον ἐπ' ἐλπίσι κέρδεος εἵνεκα,
Μήτε κτεῖνε, θεῶν ὅρκια συνθέμενος.
Πῶς ἡμῖν τέτληκεν ὑπ' αὐλητῆρος ἀείδειν
Θυμός; γῆς δ' οὖρος φαίνεται ἐξ ἀγορῆς,
Ἥτε τρέφει καρποῖσιν, ἐν εἰλαπίναις φορέοντας
Ξανθῇσί τε κόμαις πορφυρέους στεφάνους.
Ἀλλ' ἄγε δὴ Σκύθα, κεῖρε κόμην, ἀπόπαυε δὲ κῶμον,
Πένθει δ' εὐώδη χῶρον ἀπολλύμενον.
Πίστει χρήματ' ὄλεσσα, ἀπιστίῃ δ' ἐσάωσα,
Γνώμη δ' ἀργαλέη γίγνεται ἀμφοτέρων.
Πάντα τάδ' ἐν κοράκεσσι, καὶ ἐν φθορᾷ, οὐδέ τις ἡμῶν,
Αἴτιος ἀθανάτων Κύρνε θεῶν μακάρων.
Ἀλλ' ἀνδρῶν τε βίη καὶ κέρδεα πολλὰ καὶ ὕβρις,
Πολλῶν δ' ἐξ ἀγαθῶν ἐς κακότητ' ἔβαλον.

Δισσαί τοι

Nil addens quibus, aut adimens medicamina quæres
Apta malis, quæ Dij non fugienda mouent.
Non ego morte quidem maiora pericula sensi,
Sed quibus esse nihil peius ubiq; potest.
Candor amicorum me deserit, hos tamen ausim
Visere, quemq; animum, quærere cautus, habent.
Bos infesta meam mihi linguam calce fatigat,
Meq;, sciam quamuis, pandere nota uetat,
Fata quod imponunt non euitare facultas,
Ergo quod illa iubent, sponte subire iuuet.
Ferre malum nati sumus euitabile nulli,
Quod patimur, cum uis mortis utrumq; petat.
Qui non emeritos dignantur honore parentes,
Horum posteritas non loca magna tenet.
Spe lucri nullum dignare iuuare Tyrannum,
Neue paciscendo fœdera, cæde, Deûm.
Vox quo nostra modo ad tibicinis occinis artem?
Cernitur auulso limite uastus ager.
Gestantes qui purpuream flauente coronam
Crine suis homines frugibus huber alit.
Rade comam conuiuandi nec dilige morem
O Scytha, odoratum passe perire locum:
Credulus amisi bona, & auxi incredulus olim,
Sed graue discerni semper utramq; uiam.
Nos quorum, hæredes, coruis obnoxia, perdi
Nata, mali non est causa putanda Deus.
Vis humana mouet, lucriq; infanda cupido
Ipsa luem, in quam nos conijcit illa, mali.

Ob potum

Δισσαί τοι πόσιος κῆρες δειλοῖσι βροτοῖσι,
Δίψα τε λυσιμελὴς, καὶ μέθυσις χαλεπή.
Τούτων δ᾽ ἂν τὸ μέσον στρωφήσομαι, οὐδέ με πείσεις
Οὔτε τι μὴ πίνειν, οὔτε λίην μεθύειν.
Οἶνος ἐμοὶ τὰ μὲν ἄλλα χαρίζεται, ἓν δ᾽ ἀχάριστος,
Εὖθ᾽ ἂν θωρήξας μ᾽ ἄνδρα πρὸς ἐχθρὸν ἄγει.
Ἀλλ᾽ ὁπόταν καθύπερθεν ἐὼν, ὑπένερθε γένηται,
Τουτάκις οἴκαδ᾽ ἴμεν παυσάμενον πόσιος.
Εὖ μὲν κείμενον ἄνδρα κακῶς θέμεν εὐμαρές ἐστιν
Εὖ δὲ θέμεν, τὸ κακῶς κείμενον, ἀργαλέον.
Λὰξ ἐπίβα δήμῳ κενεόφρονι, τύπτε δὲ κέντρῳ
Ὀξέϊ, καὶ ζεύγλην δύσλοφον ἀμφιτίθει.
Οὐ γὰρ ἔθ᾽ εὑρήσεις δῆμον φιλοδέσποτον ὧδε
Ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.
Ζεὺς ἄνδρ᾽ ἐξολέσειεν Ὀλύμπιος, ὃς τὸν ἑταῖρον
Μαλθακὰ κωτύλλων ἐξαπατᾶν ἐθέλει.
Ἤδεα μὲν καὶ πρόσθεν, ἀτὰρ πολὺ λώονα δὴ νῦν,
Τοὔνεκα τοῖς δειλοῖς οὐδεμί᾽ ἐστὶ χάρις.
Πολλάκις ἡ πόλις ἥδε δι᾽ ἡγεμόνων κακότητα,
Ὥσπερ κεκλιμένη ναῦς, παρὰ γῆν ἔδραμε.
Τῶν δὲ φίλων εἰ μέν τις ὁρᾷ μέ τι δεινὸν ἔχοντα,
Αὐχέν᾽ ἀποστρέψας, οὐδ᾽ ἐσορᾶν ἐθέλει.
Ἢν δέ τι μ᾽ ἢ ποθὲν ἐσθλὸν, ἃ πολλάκι γίγνεται ἀν-
Πολλοὺς ἀσπασμοὺς καὶ φιλότητας ἔχω. (δρί,
Οἵ με φίλοι προδιδοῦσι, καὶ οὐκ ἐθέλουσί τι δοῦναι
Ἀνδρῶν φαινομένων, ἀλλ᾽ ἐγὼ αὐτομάτη
Ἑσπερίη τ᾽ ἔξειμι, καὶ ὀρθρίη αὖθις ἔσειμι,
Ἦμος ἀλεκτρυόνων φθόγγος ἐγειρομένων.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-120808-p0082-1

Ob potum mala bina dari mortalibus ægris,
Membra sitis soluens, ebrietásq; solent.
Nemo mihi in medio uersanti suadeat horum,
Vt nimium, sicco seu nihil ore bibam.
Cætera dona iuuant me Bacchi, displicet unum,
Præbet in hostiles arma quòd ille manus.
Qui prior esse meis cùm uiribus incipit, ædes
Potandi repeto sine iubente domum.
Est facile utentem rebus turbare secundis,
At bene, cui malè sit, constituisse labor.
Calce feros aude, & stimulo compungere ciues,
Illorumq; graui colla domare iugo.
Qui dominos reuerenter ament, nunc pene uirorum
Sydereo nullum Phœbus ab axe uidet.
Hunc precor offensi Iouis obruat ira, sodalem
Fallere qui nugans suauiter ore cupit.
Nouimus antè etiam rem, sed nunc uerius illam,
Quòd leuibus non est mentibus ulla fides.
Sæpe magistratu ciues peccante laborant,
Ceu solet in terram deuia nauis agi.
Forsan amicorum casu qui sentit acerbo
Tangi, me uisum dissimulare solet.
At fortuna refert mihi si mutata fauorem,
More salutandi creber amicus adest.
Curat amicorum mens me nil, ferre recusant,
Quos celebres famæ gloria fecit, opum.
Sponte sed egredior sub noctem, & mane reuertor,
Ales ubi excubitor linquere strata monet.

Πολλοῖς ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον
Ἐσθλόν, ὃς οὔτ' αὐτῷ βέλτερος οὐδὲν ἐών.
Οὔτε φίλοις ἀρετῆς δὲ μέγα κλέος οὔποτ' ὀλεῖται,
Αἰχμητὴς γὰρ ἀνὴρ γῆν τε καὶ ἄστυ σαοῖ.
Ἔν μοι ἔπειτα πέσοι μέγας οὐρανὸς εὐρὺς ὕπερθεν
χάλκεος, ἀνθρώπων δεῖμα παλαιγενέων.
Εἰ μὴ ἐγὼ τοῖσιν μὲν ἐπαρκέσω, οἵ με φιλεῦσι,
Τοῖς δ' ἐχθροῖς ἀνίη καὶ μέγα πῆμ' ἔσομαι.
Οἶνε, τὰ μέν σ' αἰνῶ, τὰ δὲ μέμφομαι, οὐδέ σε πάμ-
Οὔτε ποτ' ἐχθαίρειν, οὔτε φιλεῖν δύναμαι. (παν
Ἐσθλὸς καὶ κακός ἐσσὶ, τίς ἄν σέ γε μωμήσαιτο;
Τίς δ' ἂν ἐπαινήσῃ μέτρον ἔχων σοφίης;
Πῖν' οἶνον, τὸν ἐμῆς κορυφῆς ἄπο Τηϋγέτοιο,
Ἄμπελοι ἤνεγκαν, τὰς ἐφύτευσ' ὁ γέρων,
Οὔρεος ἐν βήσσῃσι θεοῖσι φίλος Θεότιμος,
Ἐκ πλατανιστοῦντος ψυχρὸν ὕδωρ ἐπάγων.
Τοῦ πίνων ἀπὸ μὲν χαλεπὰς σκεδάσεις μελεδῶνας,
Θωρηχθεὶς δ' ἔσεαι πολλὸν ἐλαφρότερος.
Εἰρήνη καὶ πλοῦτος ἔχοι πόλιν, ὄφρα μετ' ἄλλων
Κωμάζοιμι, κακοῦ δ' οὐκ ἔραμαι πολέμου.
Μηδὲ λίην κήρυκος ἀν' οὖς ἔχε μακρὰ βοῶντος,
Οὐ γὰρ πατρῴας γῆς πέρι μαρνάμεθα.
Ἀλλ' αἰσχρὸν παρεόντα καὶ ὠκυπόδων ἐπιβάντα
Ἵππων, μὴ πόλεμον δακρυόεντ' ἐσιδεῖν.
Οἴμοι ἀναλκίης, ἀπὸ μὲν κείρινθος ὄλωλε,
Ληλάντου δ' ἀγαθὸν κείρεται οἰνόπεδον.
Οἱ δ' ἀγαθοὶ φεύγουσι, πόλιν δὲ κακοὶ διέπουσιν,
Ὡς κυψελλίζον Ζεὺς ὀλέσειε γένος.

γνώμης

Præbet opes multis, quos pondus inutile dicas,
 Sed quæ nil prosunt his, alijsúe, Deus.
Debita uirtuti nullo laus occidit æuo,
 Vrbes bellator uir, patriamq; tegit.
Me super immensi moles cadat ænea cœli,
 Quæ genus antiquum terruit igne uiros:
Sponte benignus opem si ferre grauabor amicis,
 Nî secus adfectis usq; nocere uelim.
Vt mea te laudat, sic culpat Iacche uicißim
 Vox, odisse nimis te, nec amare lubet.
Prodes, obesq; liquore tuo, culpare quis audet?
 Quis laudare, modo qui meliore sapit?
Taygeto natæ uites quæ monte ministrant
 Dulcia uina mihi, me monitore bibas.
Quas Theotime iugo hoc plantasse putaris aprico
 Ex plataneto isthæc sub loca ductor aquæ.
Mista liquore graues pellent hoc pocula curas,
 Ebrius & læto pectore potor eris.
Pax, & opes ditent urbem, ut coniunctus amicis
 Læter, amo rigidi nil ego Martis opus.
Ne mox rixosis adhibe præconibus aures,
 Non est pro patrio nunc quia pugna solo.
Turpe fugacis equi conscendere dorsa, nec hostem,
 Bella laceßitum nec lacrymosa sequi.
Hei mihi quòd Cerinthum ignauia perdidit urbem,
 Quòd bona Lelanti uinea uasta iacet.
Turpe boni fugiunt regimen, scelerata ministrat
 Turba, uelit totam quam perijsse Deus.

Γνώμης δ' οὐδὲν ἄμεινον ἀνὴρ ἔχει ἔν γε ἑαυτῷ,
οὐδ' ἀγνωμοσύνης Κύρν' ἀνιηρότερον.
Κύρνε μὴ ἀνδράσι πάντα καταθνητοῖς χαλεπαίνειν,
γινώσκων, ὡς νοῦν οἷον ἕκαστος ἔχει.
Αὐτὸς ἐνὶ στήθεσι, καὶ ἔργματα, τῶν δὲ δικαίων,
τῶν τ' ἀδίκων, μέγα κεν πῆμα βροτοῖσιν ἐπῆν.
Ἔστι τὸ μὲν χεῖρον, τὸ δ' ἄμεινον ἔργον ἑκάστου,
οὐδεὶς δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.
Ὅστις ἀνάλωσιν τηρεῖ κατὰ χρήματα θηρῶν,
κυδίστην ἀρετὴν τοῖς συνιεῖσιν ἔχει.
Εἰ μὲν γὰρ καθιδεῖν βιότου τέλος ἦν ὁπόσον τις
ἤμελλ' ἐκτελέσας εἰς Ἀΐδαο περᾶν:
Εἰκὸς ἂν ἦν, ὃς μὲν πλείω χρόνον αἶσαν ἔμιμνε,
φείδεσθαι μᾶλλον τοῦτον, ὃν εἶχε, βίον.
Νῦν δ' οὐκ ἔστιν, ὃ δὴ καὶ ἐμοὶ μέγα πένθος ὄρωρε,
καὶ δάκνομαι ψυχήν, καὶ δίχα θυμὸν ἔχω.
Ἐν τριόδῳ δ' ἕστηκα, δύ' εἰσὶ δὲ πρόσθεν ὁδοί μοι
φροντίζω, τούτων ἥν τιν' ἴω προτέρην.
Ἢ μηδὲν δαπανῶν τρύχω βίον ἐν κακότητι,
ἢ ζώω τερπνῶς ἔργα τελῶν ὀλίγα.
Εἶδον μὲν γὰρ ἔγωγ', ὃς ἐφείδετο, κοὔποτε γαστρὶ
σῖτον ἐλευθέριον πλούσιος ὢν ἐδίδου.
Ἀλλὰ πρὶν ἐκτελέσαι, κατέβη δόμον Ἄϊδος εἴσω,
χρήματα δ' ἀνθρώπων οὑ,πιτυχὼν ἔλαβεν.
Ὥστ' ἄκαιρα πονεῖν, καὶ μὴ δόμεν ᾧ κ' ἐθέλοι τις,
εἶδον δ' ἄλλον, ὃς ἦν γαστρὶ χαριζόμενος.
Χρήματα μὲν διέτριψεν ἔφη δ', ὑπάγω φρένα τέρψας
πτωχεύει δὲ φίλους πάντας ὅπου ἂν ἴδῃ.

Οὕτω

Nil melius, quàm consilijs pollere, uicißim
Peius erit nil, quàm desipuisse, uiro.
Concipe ne temerè mox rebus in omnibus iram,
Mente tene quali quilibet esse solet.
Qualem facta probant, iusto suus error, & idem
Iniusto, nemo non graue crimen habet.
Laude facit dignum, culpari sæpius idem,
Qui sapit ex omni parte, nec unus erit.
Qui uenatur opes, has si uigil ille tuetur,
Iudicio laudem, qui sapuêre, parit.
Si uitæ finem præscire liceret, & æuo
Quo lapso Stygias quisq; subiret aquas?
Res erat æqua senem, canum quem fata uolebant,
Hoc magis ut rebus parceret ille suis.
Sed non scire licet, mouet hæc mihi causa dolorem,
Qui mentem, quid agam me dubitante, grauat.
In triuio ante pedes me duplex semita fallit,
Meq́;, sit illarum quæ magis apta, latet.
An tenui uictu, uitamq́; labore fatigem,
Ocia seu luxu deliciante sequar.
Noui, mos erat exiguo cui uiuere sumptu,
Nec genium largis exhilarare cibis.
Sed prius, hæc misero quàm cura quieuit haberdi,
Hoc moriente tulit peßimus alter opes.
Sic labor huic perijt, data, nec cui parta uolebat,
Noui alium curæ cui modo uenter erat.
Qui decoxit opes dicens, sic ibo sub umbras,
Quem modo mendico pane tenemus ali.

Οὕτω Δημόκλεις, κατὰ χρήματ' ἄριστον ἁπάντων
  τὴν δαπάνην θέσθαι, καὶ μελέτην ἔχεμεν.
Οὔτε γὰρ ἂν προκαμὼν ἄλλῳ καμάτου μεταδοίης,
  Οὔτ' ἂν πτωχεύων δουλοσύνην τελέοις.
Οὐδ' εἰ γῆρας ἵκοιτο, τὰ χρήματα πάντ' ἀποδραίη,
  Ἐν δέ τοιῷδε γένει χρήματ' ἄριστον ἔχειν.
Εἰ μὲν γὰρ πλουτεῖς, πολλοὶ φίλοι, ἢν δὲ πένηαι,
  Παῦροι, κοὐκέτ' ὁμῶς αὐτὸς ἀνὴρ ἀγαθός.
Φείδεσθαι μὲν ἄμεινον, ἐπεὶ οὐδὲ θανόντ' ἀποκλαίει
  Οὐδεὶς, ἢν μὴ ὁρᾷ χρήματα λειπόμενα.
Παύροις ἀνθρώπων ἀρετὴ καὶ κάλλος ὀπηδεῖ,
  Ὄλβιος, ὃς τούτων ἀμφοτέρων ἔλαχεν.
Πάντες μὲν τιμῶσιν ὁμῶς ἴσοι, οἵ τε κατ' αὐτὸν
  Οἰκοῦσιν χώρης, οἵ τε παλαιότεροι.
Οὐ δύναμαι φωνῇ λιγύρ' ἀειδέμεν, ὥσπερ ἀηδών,
  Καὶ γὰρ τὴν προτέραν νύκτ' ἐπὶ κῶμον ἔβην.
Οὐδὲ τὸν αὐλητὴν προφασίζομαι, ἀλλά μ' ἑταῖρος
  Ἐκλείπει, σοφίης οὐκ ἐπιδευόμενος.
Ἐγγύθεν αὐλητῆρος ἀείσομαι, ὧδε κατασὰς
  Δεξιὸς, ἀθανάτοις θεοῖσιν ἐπευχόμενος.
Εἶμι παρὰ στάθμην ὀρθὴν ὁδὸν, οὐδετέρωσε
  Κλινόμενος, χρὴ γάρ μ' ἄρτια πάντα νοεῖν.
Πατρίδα κοσμήσω λιπαρὴν πόλιν, οὔτ' ἐπὶ δήμῳ
  Τρέψας, οὔτ' ἀδίκοις ἀνδράσι πειθόμενος.
Νεβρὸν ὑπὲρ ἐλάφοιο λέων ὣς ἀλκὶ πεποιθὼς,
  Ποσσὶ καταμάρψας, αἵματος οὐκ ἔπιον.
Τειχέων δ' ὑψηλῶν ἐπιβὰς πόλιν οὐκ ἀλάπαξα,
  Ζευξάμενος δ' ἵππους ἅρματος οὐκ ἐπέβην.

Pro rerum fieri sumptus ratione tuarum
 Expedit, & partis parcius ergo frui.
Quære labore tibi res, nec uicina reuises
 Tecta, feres serui nec graue tristis onus.
Nec, cùm cana senecta subit, tibi deesse dolebis
 Pauper opes, ætas hæc quibus optat ali.
Creber amicus opum est, si paupertate labores,
 Nemo, nec ille, bonum quem tamen esse putes.
Parce bonis igitur, morientem luget amicum
 Nemo, nisi hæredem se fore speret opum.
Mens generosa subest paucis, formæq; uenustas,
 Cui sit utrumq; bonum, iure beatus erit.
Hunc omnes coluêre, pares quos efficit ætas,
 Turba senum huic etiam cedit amica locum.
Non suaui canere ore uelut luscinia possum,
 Hoc conuiua malum nocte priore tuli.
Arguitur nil tibicen mihi, abesse sodalem
 Conqueror, haud animo qui sapiente caret.
Aßistens lateri dextro tibicinis edam
 Qualescunq; Deum uoce precante modos.
Certa uiæ nec in hanc me partem inclinet, & illam
 Regula, perpendi singula ritè decet.
Diues opum præcone feret me patria laudem,
 Non qua lege mali, uulgus inersq; cupit.
More leo ceruæ quo raptat ab ubere pullum,
 Non mea squallenti labra cruore madent.
Transiliens muros non diripui acriter urbem,
 Conscendi iunctis plaustra nec autor equis.

Ρῆξας δ' οὐκ ἔρηξα, καὶ οὐκ ἐτέλεσα πελάσας,
Δρήσας δ' οὐκ ἔδρησ', ἤνυσα δ' οὐκ ἀνύσας.
Δειλοὺς δ' εὖ ἕρδοντι δύω κακά. τῶν τε γὰρ αὐτοῦ
Χηρώσει πολλῶν, καὶ χάρις οὐδεμία.
Εἴ τι παθὼν ἀπ' ἐμεῦ ἀγαθὸν μέγα, μὴ χάριν οἶδας,
Χρῄζων ἡμετέρους αὖθις ἵκοιο δόμους.
Ἐστὲ μὲν αὐτὸς ἔπινον ἀπὸ κρήνης μελανύδρου,
Ἡδύ τί μοι ἐδόκει καὶ καλὸν εἶμεν ὕδωρ.
Νῦν δ' ἤδη τεθόλωται, ὕδωρ δ' ἀναμίσγεται ὕδει,
Ἄλλης δὲ κρήνης πίομαι, ἢ ποταμοῦ.
Μή ποτ' ἐπαινέσῃς πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνῶς,
Ὀργὴν καὶ ῥυθμὸν, καὶ τρόπον ὅστις ἂν ᾖ.
Πολλοί τοι κίβδηλον ἐπίκλοπον ἦθος ἔχοντες
Κρύπτουσ' ἐνθέμενοι θυμὸν ἐφημέριον.
Τούτων δ' ἐκφαίνει πάντων χρόνος ἦθος ἑκάστου.
Καὶ γὰρ ἐγὼ γνώμης πολλὸν ἄρ' ἐκτὸς ἔβην.
Ἔφθην δ' αἰνήσας πρὶν σοῦ κατὰ πάντα δαῆναι
Ἤθεα, νῦν δ' ἤδη, ναῦς ἅτε, ἑκὰς διέχω.
Τίς δ' ἀρετὴ πίνοντ' ἐπιοίνιον ἆθλον ἑλέσθαι;
Πολλάκι τοι νικᾷ καὶ κακὸς ἄνδρ' ἀγαθόν.
Οὐδεὶς ἀνθρώπων, ὃν ἐπεί ποτε γαῖα καλύψει,
Εἴς τ' ἔρεβος καταβῇ δώματά τε Περσεφόνης,
Τέρπεται οὔτε λύρης, οὔτ' αὐλητῆρος ἀκούων,
Οὔτε Διωνύσου δῶρ' ἐσαειράμενος.
Ταῦτ' ἐσορῶν, κραδίην εὖ πείσομαι, ὄφρα τ' ἐλαφρὰ
Γούνατα, καὶ κεφαλὴν ἀτρομέως προφέρω.
Μή μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ,
Χερσίν τε σπεύδοι, χρήμασί τ' ἀμφότερα.

Μὴ δὲ

Nuper agens egi nequicquam, meq́; uicißim
Nil tentante mihi non malè cesßit opus.
Damna malis prodesse duo metuenda uolenti,
Perdit enim res, & gratia nulla redit.
A me si qua tibi benefacta, nec esse laboras
Gratus, ad hanc redeas indigus opto domum.
Ipse bibi elimi dum purum è fonte liquorem,
Est mihi uisus aquæ dulcis inesse sapor.
Nunc quia limosam fons turbidus exhibet undam,
Ex alio post hac fonte lacúue bibam.
Collaudare caue, benè quem non noueris usu,
Moribus, ingenio qualis & esse potest.
Non pauci simulant fucato pectore mores,
Vixq́; fides illis esse diurna solet.
Quorum sera feram naturam detegit ætas,
Hac ego deceptum me quoq; fraude queror.
Laudaui antè, tuos quàm mores improbe nossem,
Nunc uito, scopulum ceu uaga cymba solet.
Quæ laus potori, si uicerit ille bibendo,
Hac prior esse bono peßimus arte potest.
Quem tegit urna nigris hominum terrena latebris,
Quiq; hoc Persephones limen ab orbe subit:
Non arguta lyræ uox hunc, non tibia cantu,
Aut tua Bacche suo dona liquore iuuant.
Hæc reputans genio non indulgere recusem,
Dum leue crus, tremat & nil iuuenile caput.
Nemo mihi linguæ se fraude loquatur amicum,
Re sed fidus opem sæpe, manuq́; ferat.

Μηδὲ παρὰ κρητῆρσι λόγοισιν ἐμὴν φρένα τέρποι,
 Ἀλλ' ἔρδων φαίνοιτ', εἴ τι δύναιτ' ἀγαθόν.
Ἡμεῖς δ' ἐν θαλίῃσι φίλον καταθώμεθα θυμόν,
 Ὄφρ' ἔτι τερπωλῆς ἔργ' ἐρατεινὰ φέρῃ.
Αἶψα γάρ, ὥστε νόημα, παρέρχεται ἀγλαὸς ἥβη,
 Οὐδ' ἵππων ὁρμὴ γίγνεται ὠκυτέρη.
Αἵ τε ἄνακτα φέρουσι δορυσσόον ἐς πόνον ἀνδρῶν
 Λάβρως, πυροφόρῳ τερπόμεναι πεδίῳ.
Πῖν' ὁπόταν πίνωσιν, ὅταν τοὶ θυμὸν ἀσηθῇς,
 Μηδεὶς ἀνθρώπων γνῷ σε βαρυνόμενον.
Ἄλλοτέ τοι πάσχων ἀνιήσεαι, ἄλλοτε θ' ἔρδων
 Χαιρήσειν δύνασαι, ἄλλοτε τ' ἄλλος ἀνήρ.
Εἴθ' εἴη Ἀκάδημε ἐφίμερον ὕμνον ἀείδειν,
 Ἆθλον δ' ἐν μέσσῳ παῖς καλὸν ἄνθος ἔχων,
Σοί τ' εἴη καὶ ἐμοί σοφίης πέρι δηρισάντοιν,
 Γνοίης χ' ὅσσον ὄνων κρέσσονες ἡμίονοι.
Ἦμος δ' ἠέλιος μὲν ἐν αἰθέρι μώνυχας ἵππους
 Ἄρτι παραγγέλλοι, μέσσατον ἦμαρ ἔχων.
Δείπνου δὴ λήγοιμεν, ὅπου τινὰ θυμὸς ἀνώγει,
 Παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι.
Χέρνιβα δ' αἶψα θύραζε φέροι, στεφανώματα δ' εἴσω,
 Εὐειδὴς ῥαδιναῖς χερσὶ λάκαινα κόρη.
Ἥδ' ἀρετή τόδ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον,
 Κάλλιστόν τε φέρειν, γίγνεται ἀνδρὶ σοφῷ.
Ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε, παντί τε δήμῳ,
 Ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι ἔνι.
Ξυνὸν δ' ἀνθρώποις ὑποθήσομαι, ὄφρα τις ἥβης,
 Ἀγλαὸν ἄνθος ἔχων, καὶ φρεσὶν ἐσθλὰ νοῇ.

τῶν

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-120808-p0092-1

Et mulcere meas ad pocula desinat aures,
    Si qua potest, studio non remorante probet.
Exhilarent placidas nobis conuiuia mentes,
    Deliciæ poßunt donec habere locum.
Ceu formata perit ui mentis imago, iuuentæ
    Flos abit, est cursu cui fuga maior equæ
Quæ ferat ad pugnæ duros animosa labores
    Luxurians campo fertiliore, uirum.
Quando bibunt alij bibe, sed cum pulsa libido
    Potandi, hoc alijs non aperire uelis.
Sæpe dole patiens, gaude ultor in hoste uicißim,
    Nunc sic adfectum, nunc secus esse decet.
O Academe canas utinam tu suauiter hymnum,
    Et florem teneat præmia pulcra puer.
Dum mecum, sit maior utri sapientia, certes,
    Muli asinis præstent qua ratione tenes.
Cum iam Phœbus equos, solido quibus ungula cornu,
    Admouet, & medium signat ab axe diem:
Cœna potest peragi, iubet hoc ceu quemq; uoluptas,
    Vt uentrem uarijs hæc cibet hora bonis.
Iamq; foras peluim ferat, intrò pulchra coronam,
    Quam teneat gracili uirgo Lacæna manu.
Optima res homini, decus & laudabile uirtus,
    Qui sapit, illi hac nil dulcius esse potest.
Nam commune bonum est, patriæq; uir utilis omni,
    Primam aciem qui non, cum gerit arma, fugit.
Nunc commune dabo præceptum, ut flore iuuentæ
    Qui pulcro uiget, & mente sagace sapit.

τῶν αὐτοῦ κτεάνων εὖ πασχέμεν, οὐ γὰρ ἀνηβᾶν
  δὶς πέλεται πρὸς θεῶν, οὐδὲ λύσις θανάτου.
Θνητοῖς ἀνθρώποισι κακὸν δ' ἐπὶ γῆρας ἐλέγχει
  οὐλόμενον, κεφαλῆς δ' ἅπτεται ἀκροτάτης.
Ὦ μάκαρ, εὐδαίμων τε καὶ ὄλβιος, ὅστις ἄπειρος
  ἄθλων, εἰς Ἀΐδου δῶμα μέλαν κατέβη.
Πρίν τ' ἐχθροὺς πτῆξαι, καὶ ὑπερβῆναι περ ἀνάγκῃ
  ἐξετάσαι τε φίλους, ὅντιν' ἔχουσι νόον.
Αὐτίκα μοι κατὰ μὲν χροιὴν ῥέει ἄσπετος ἱδρώς,
  πτοιῶμαι δ' ἐσορῶν ἄνθος ὁμηλικίης.
Τερπνὸν ὁμῶς καὶ καλὸν ἐπεὶ πλέον ὤφελεν εἶναι.
  Ἀλλ' ὀλιγοχρόνιον γίγνεται ὥσπερ ὄναρ.
Ἥβη τιμήεσσα, τὸ δ' οὐλόμενον καὶ ἄμορφον
  αὐτίκ' ὑπὲρ κεφαλῆς γῆρας ὑπερκρέμαται.
Οὔ ποτε τοῖς ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω,
  δύσλοφον, οὐδ' εἴ μοι Τμῶλος ἔπεσι κάρῃ.
Δειλοῖς τοι κακότητι ματαιότεροι νόοι εἰσί,
  τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.
Ῥηΐδίη τοι πρῆξις ἐν ἀνθρώποις κακότητος,
  τοῦ δ' ἀγαθοῦ χαλεπὴ Κύρνε πέλει παλάμη.
Τόλμα Κύρνε κακοῖσιν ὁμῶς ἄτλητα πεπονθώς,
  δειλῶν τοι κραδίη γίγνεται ὀξυτέρη.
Μηδὲ σύ γ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων
  ἔχθει, μηδ' ἄχθου, μηδὲ φίλους ἀνία.
Μηδ' ἐχθροὺς εὔφραινε, θεῶν δ' εἱμαρμένα δῶρα,
  οὐκ ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι.
Οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης,
  οὔθ' ὅταν αὐτὸν ἔχῃ τάρταρος ἠερόεις.

Molliter ille bonis utatur, uerna bis ætas
  Non datur, aut sæuæ mortis inire fugam.
Imminet, & secum segetem trahit ægra malorum,
  Occupat & summum cana senecta caput.
Felix accingi qui nunquam cogitur armis,
  Antè, domus Stygiæ quàm nigra tecta subit.
Quamq; timere ferum est hostem, & superare necesse,
  Quaq; alij faueant discere mente sibi.
Membra madent sudore mihi, & mens tota stupescit,
  Cum florem intueor, seu iuuenile decus.
Qui durare suo debebat amœnius usu,
  Tempore sed paruo, somnia sicut, abit.
Imminet ægra, lues formæq; inimica senectus,
  Et subitò niueum pendet adepta caput.
Non seruile iugum mihi sit tolerare uoluntas,
  Grande licet Tmoli ferre iuberer onus.
Esse malis uanæ tactis discrimine mentes,
  Esse bonis cordi rectius acta solent.
Moribus apta malis sunt ausa facillima factu,
  Virtutem grauis est excoluisse labor.
O anime indignam sortem conside ferendo,
  Rectius ærumnis mens agitata sapit.
Que peragi nequeunt, te nulla negocia turbent,
  Pectore neue alios impatiente premas.
Hostibus hi pariant ne gaudia grata dolores,
  Quæ ueniunt fato, damna cauere graue est.
Hæc uitare potest nec auerni intrare paludem
  Iussus, & aut iam tum quem niger orcus habet.

Ἄνδρά τοι ἐσθλὸν ἀγαθὸν χαλεπώτατον ἐξαπατῆσαι,
ὡς ἐν ἐμῇ γνώμῃ Κύρνε πάλαι κέκριται.
Ἥδεα μὲν καὶ πρόσθεν, ἀτὰρ πολὺ λώϊον ἤδη
οὕνεκα τοῖς δειλοῖς οὐδεμί' ἐστι χάρις.
Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵ τινες οἶνον
μὴ πίνουσ' ἄστρου καὶ κυνὸς ἀρχομένου.
Δεῦρο σὺν αὐλητῆρι παρὰ κλαίοντι γελῶντες
πίνωμεν, κείνου κήδεσι τερπόμενοι.
Εὕδωμεν φυλακὴ δὲ πόλεως φυλάκεσσι μελήσει,
ἀστυφελοῦς ἐρατῆς πατρίδος ἡμετέρης.
Ναὶ μὰ Δί' εἴ τις τῶνδε καὶ ἐγκεκαλυμμένος εὕδει,
ἡμέτερον κῶμον δέξεται ἀργαλέως.
Νῦν μὲν πίνοντες τερπώμεθα, καλὰ λέγοντες.
ἅσσα δ' ἔπειτ' ἔσται, ταῦτα θεοῖσι μέλει.
Σοὶ δὲ οἷά τε παιδὶ φίλῳ ὑποθήσομαι αὐτὸς
ἐσθλά, σὺ δ' ἐν θυμῷ καὶ φρεσὶ ταῦτα βάλε.
Μή ποτ' ἐπειγόμενος πρήξῃς κακὸν, ἀλλὰ βαθείῃ
σῇ φρενὶ βούλευσαι, σῷ ἀγαθῷ τε νόῳ.
Τῶν γὰρ μαινομένων μάχεται θυμός τε, νόος τε,
βουλὴ δ' εἰς ἀγαθὸν καὶ νόον ἐσθλὸν ἄγει.
Ἀλλὰ λόγον μὲν τοῦτον ἐάσομεν. αὐτὰρ ἐμοὶ σὺ
αὔλει, καὶ Μουσῶν μνησόμεθ' ἀμφότεροι.
Αὗται γὰρ τάδ' ἔδωκαν ἔχειν κεχαρισμένα δῶρα,
σοὶ καὶ ἐμοὶ μέλειν καὶ ἀμφιπερικτίοσι.
Τιμαγόρα πολλῶν ὀργὴν, ἀπάτερθεν ὁρῶντι
γιγνώσκειν χαλεπὸν καί περ ἐόντι σοφῷ.
Οἳ μὲν γὰρ κακότητα κατακρύψαντες ἔχουσι
πλούτῳ, τοὶ δ' ἀρετὴν οὐλομένῃ πενίῃ.

Fraude bonum exercere uirum res plena laboris,
 Ceu mea iamdudum mens ſtatuiſſe poteſt.
Hoc noui antè quidem, ſed nunc exactius uſu,
 In leuium quòd ſit pectore nulla fides.
Qui non uina bibunt, oriens cum ſæuit Orion,
 Aut canis igne ſuo, deſipuiſſe putem.
Dum plorant alij, nos cum tibicine curis
 Triſtibus illorum gaudia nata iuuent.
Nos dum ſomnus habet, uigil hanc cuſtodiat urbem,
 Quæ tibi ceu cunas, ſic mihi cara dedit.
Quem capite ebrietas uelato ſtertere cogit,
 Hauriet hic ſubitò carminis aure melos.
Pulchra iuuet dulci potantes Muſica cantu,
 Tempora Dij curent quid ſubitura ferant.
At tibi ceu caro tradam præcepta uiciſsim
 Gnato, quæ memori mente tenere uelis.
Præcipiti motu tu nil age, mente profunda
 Rem perpende, regi qua ſapiente decet.
Impetus adfectu mentem aduerſante fatigat,
 Conſilij ratio cauta miniſtrat opem.
Hunc ſed lingua ſinat ſermonem, & tibia nobis
 Tu cane, Muſarum nos meminiſſe iuuet.
Quarum grata fauor bona nobis donat, honorem
 Carmine uicinis nos tribuiſſe ſinunt.
Spectanti procul humanas cognoſcere mentes
 Difficilè, huic etiam qui ſatis ipſe ſapit.
Hi quia diuitijs naturæ crimina celant,
 Virtutemq; alijs indiga uita premit.

Ἐν δ' ἥβῃ πάρα μὲν ξυνομήλικι κάλλιον εὕδειν,
  Ἱμερτῶν ἔργων ἵμερον ἱέμενον.
Ἔστι δὲ κωμάζοντα μετ' αὐλητῆρος ἀείδειν,
  Τούτων οὐδέν τοι ἄλλ' ἔπι τερπνότερον.
Ἀνδράσιν ἠδὲ γυναιξί. τί μοι πλοῦτός τε καὶ αἰδώς;
  τερπωλὴ νικᾷ πάντα σὺν εὐφροσύνῃ.
Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵτε θανόντας
  Κλαίουσ', οὐδ' ἥβης ἄνθος ἀπολλύμενον.
Τέρπεό μοι φίλε θυμὲ τάχ' ἄν τινες ἄλλοι ἔσοιντο
  Ἄνδρες, ἐγὼ δὲ θανὼν γαῖα μέλαιν' ἔσομαι.
Κύρνε φίλους πρὸς πάντας ἐπίστρεφε ποικίλον ἦθος,
  Συμμίσγων ὀργήν, οἷος ἕκαστος ἔφη.
Νῦν μὲν τῷδ' ἐφέπου, ποτὲ δ' ἄλλοις πέλευ ὀργήν.
  Κρεῖσσόν τοι σοφίη καὶ μεγάλης ἀρετῆς.
Πρήγματος ἀπρήκτου χαλεπώτατόν ἐστι τελευτὴν
  Γνῶναι, ὅπως μέλλει τοῦτο θεὸς τελέσαι.
Ὄρφνη γὰρ τέταται· πρὸ δὲ τοῦ μέλλοντος ἔσεσθαι
  Οὐ ξυνετὰ θνητοῖς πείρατ' ἀμηχανίης.
Οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα,
  Οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον.
Οὕτω καὶ τόν γ' ἐσθλὸν ἐπιστρέψαντα νόημα
  Ἔμπεδον αἰὲν ἔχειν ἐς τέλος ἀνδρὶ φίλῳ.
Δῆμον δ' ἀξιοῖ πολλὰ φέρειν βαρὺς οὐ γὰρ ἐπίστῃ
  Τοῦθ' ἔρδειν, ὅ, τι σοι μὴ καταθύμιον ᾖ.
Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίῃ
  Ναίετ' ἐπ' Εὐρώτα καλλιρόῳ ποταμῷ.
Εἴ ποτε βουλεύσαιμι φίλῳ κακόν, αὐτὸς ἔχοιμι
  Εἰ δέ τι κεῖνος ἐμοί, δὶς τόσον αὐτὸς ἔχοι.

Par erit æqualem iuueni accubuisse puellam,
Delicias Veneris carpere si quis amat.
Conuiuante canat mihi me tibicen ad aures,
Delectare sat hæc res genus omne potest.
Quid mihi diuitiæ, grauitasq́; seuera? uoluptas
Omnia delicias uincit adepta suas.
Desipiunt defunctorum qui funera deflent,
Flore suæ uitæ nec pereunte dolent.
Care anime oblecta te, mox erit altera mundi
Posteritas, ubi me nigra recondet humus.
Ingenij mores aptare decebit amicis,
Et mentem quæ sit cuilibet, arte sequi.
Hunc iam disce sequi, cautis iam moribus illum,
Qui sapit, ille magis sæpe potente ualet.
Diuinare tibi quo fine negocia cedant
Difficile, euentu quo uelit esse Deus.
Caligo siquidem res implicat atra futuras,
Nemo tenet, quem sit sors habitura modum.
Qui bonus est, hostem quamuis culpare recusem,
Nec laudem, petulans quisquis amicus erit.
Hæc meminisse decet, firmamq́; ostendere mentem,
Iungis amiciciæ quos tibi lege, uiris.
Sis grauis ausa feri uulgi importuna ferendo,
Quicquid ages, aliqua parte molestus eris.
Diuinam cum fratre tenens Lacedæmona sedem
Castor, ad Euroten nobile flumen aquis:
Me mala corripiant, quæ machiner autor amico,
At geminam pœnam, si nocet ipse, luat.

Ἀργαλέως μοι θυμὸς ἔχει περὶ σῆς φιλότητος
οὔτε γὰρ ἐχθαίρειν, οὔτε φιλεῖν δύναμαι.
Γιγνώσκων χαλεπὸν μὲν, ὅταν φίλος ἀνδρὶ γένηται,
ἐχθαίρειν, χαλεπὸν δ᾽ οὐκ ἐθέλοντα φιλεῖν.
Σκέπτεο δὴ νῦν ἄλλον, ἔμοιγε μὲν οὔτις ἀνάγκη
τοῦτ᾽ ἔρδειν, τῶν μοι πρόσθε χάριν τίθεσο.
Ἤδη καὶ πτερύγεσσιν ἐπαίρομαι, ὥστε πετεινὸν
ἐκ λίμνης μεγάλης, ἄνδρα κακὸν προφυγών.
Βρόγχον ἀπορρήξας σὺ δ᾽ ἐμῆς φιλότητος ἁμαρτὼν
ὕστερον ἡμετέρην γνώσῃ ἐπιφροσύνην.
Ὅστις σοι βούλευσεν ἐμεῦ πέρι, καί σ᾽ ἐκέλευσεν
οἴχεσθαι προλιπόνθ᾽ ἡμετέρην φιλίην.
Ὕβρις καὶ Μάγνητας ἀπώλεσε, καὶ Κολοφῶνα,
καὶ Σμύρνην, πάντως Κύρνε καὶ ὔμμας ὀλεῖ.
Εἰς βάσανον δ᾽ ἐλθὼν, παρατριβόμενός τε μολίβδῳ
χρυσὸς ἀπεφθὸς ἐὼν, καλὸς ἅπας ἂν ἔσῃ.
Οἴμοι ἐγὼ δειλὸς, καὶ δὴ κατὰ χάρμα μὲν ἐχθροῖς,
τοῖς δὲ φίλοισι πόνος, δειλὰ παθὼν, γίνομαι.
Κύρν᾽ οἱ πρόσθ᾽ ἀγαθοὶ, νῦν αὖ κακοὶ, οἱ δὲ κακοὶ πρὶν
νῦν ἀγαθοὶ, τίς κεν ταῦτ᾽ ἀνέχοιτ᾽, ἐσορῶν.
Τοὺς ἀγαθοὺς μὲν ἀτιμοτέρους, κακίους δὲ λαχόντας
τιμῆς; μνηστεύει δ᾽ ἐκ κακοῦ ἐσθλὸς ἀνήρ.
Ἀλλήλους δ᾽ ἀπατῶντες, ἐπ᾽ ἀλλήλοισι γελῶσιν,
οὔτ᾽ ἀγαθῶν μνήμην εἰδότες, οὔτε κακῶν.
Χρήματ᾽ ἔχων πενίην μ᾽ ὠνείδισας, ἀλλὰ τὰ μέν μοι
ἐστί, τὰ δ᾽ ἐργάσομαι θεοῖσιν ἐπευξάμενος.
Πλοῦτε θεῶν κάλλιστε, καὶ ἱμεροέστατε πάντων,
σὺν σοί, καὶ κακὸς ὢν, γίγνομαι ἐσθλὸς ἀνήρ.

Ἥβης

Ob te sollicitè me cura fatigat amicum,
  Non odisse mihi te, nec amare lubet.
Esse quòd experior graue deseruisse sodalem,
  Et graue nolentem quòd sit amare uirum.
Quære lubens alium, nil te mihi amare necesse,
  Pro merito grates antè priore refer.
Efferor hinc alis, uastam quo more paludem
  Linquit auis, fugio, nam malus esse soles.
Lædis amicitiam morum quia crimine nostram,
  Hac mihi pòst de re cautio maior erit.
Vt me desereres, pereat, qui suasit, amicum,
  Vtq; fugam studio perfidiore dares.
Magnetas morum feritas dedit, & Colophonem
  Et Smyrnam exitio, nos citò perdet idem.
Te Lydio lapide attritum decet antè probari,
  Parq́; auro puro iure putandus eris.
Hei mihi læticiam sors nostra quòd hostibus adfert,
  Quiq́; fauent, illis sum graue semper onus.
Antè bonos, nunc experior secus esse, bonosq́;,
  Antè malos, placidè ferre quis illa potest?
Esse bonos meritò sine honore, malosq́; potiri,
  Degenerem nuptam, qui bonus ipse, petit.
Inq; uicem certante dolo periuria rident,
  Nec meminere boni, nec meminere mali.
Insultus mihi diues egenti, sed mihi quædam
  Sunt quoq;, plura Deûm pòst labor addet ope.
Ante Deos alios ô numen amabile Pluto,
  Vel malus existens te duce clarus ero.

Ἥβης μέτρον ἔχοιμι, φιλοῖ δέ με Φοῖβος Ἀπόλλων
Λητοΐδης, καὶ Ζεὺς ἀθανάτων βασιλεύς.
Ὄφρα βίον ζώοιμι κακῶν ἔκτοσθεν ἁπάντων,
ἥβῃ καὶ πλούτῳ θυμὸν ἰαινόμενος.
Μή με κακῶν μέμνησθε, πέπονθά τοι οἷά τ' Ὀδυσσεύς,
ὥστ' Ἀΐδου μέγα δῶμ' ἤλυθεν ἐξαναδύς.
Ὃς δὴ καὶ μνηστῆρας ἀνείλετο νηλέϊ χαλκῷ,
Πηνελόπης ἔμφρων κουριδίης ἀλόχου.
Ἥ μιν δήθ' ὑπέμεινε φίλῳ παρὰ παιδὶ μένουσα,
ὄφρα τε γῆς ἐπέβη δειμαλέους τε μυχούς.
Εἰ πίομαι πενίης θυμοφθόρου οὐ μελεδαίνω,
οὐδ' ἀνδρῶν ἐχθρῶν οἵ με λέγουσι κακῶς.
Ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ' ἐπιλείπει.
κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.
Κύρνε παροῦσι φίλοισι κακοῦ καταπαύσομεν ἀρχήν,
ζητῶμεν δ' ἕλκει φάρμακα φυομένῳ.
Ἐλπὶς ἐν ἀνθρώποισι μόνη θεὸς ἐσθλὴ ἔνεστιν,
ἄλλοι δ' Οὔλυμπόνδ' ἐκπρολιπόντες ἔβαν.
Ὤχετο μὲν πίστις μεγάλη θεός, ὤχετο δ' ἀνδρῶν
σωφροσύνη, χάριτές τ', ὦ φίλε, γῆν ἔλιπον.
Ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι,
οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους.
Εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιτο, οὐδὲ θέμιστας
οὐκέτι γινώσκουσ' οὐδέ μεν εὐσεβίας.
Ἀλλ' ὄφρα τις ζώῃ καὶ ὁρᾷ φάος ἠελίοιο,
εὐσεβέων περὶ θεοὺς ἐλπίδα προσμενέτω,
εὐχέσθω δὲ θεοῖσι, καὶ ἀγλαὰ μηρία καίων,
ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω.

φραζέσθω

Læta iuuenta diu mihi duret, & autor Apollo
  Latoides ô me cum Ioue ſemper amet.
Semper ut infeſtent mihi nulla pericula uitam,
  Pubertate queam, delicijsq́; frui.
Ne renouate,tuli quæ, quanta ſubiuit Vliſſes,
  Qui quondam Stygio uictor ab orbe redit.
Atq; procos rigido qui coniugis ære iuuencæ
  Penelopes pollens mente ſagace necat.
Caro cum nato quam tædia longa grauabant,
  Terribiles terræ dum ſubit ille ſpecus.
Paupertate fugant motam mihi pocula curam,
  Hoſtes ore nihil meq́; minace mouent.
Florida quòd ſubitò mihi conqueror effugit ætas,
  Quodq; labore graui plena ſenecta ſubit.
Principio ſedare mali uim præſtat amicis,
  Dum naſcens medicam poſtulat hulcus opem.
Spes genus una fugax nondum mortale reliquit,
  Sydeream petijt cœtera turba domum.
Sic Dea magna Fides, ſic ſancta Modeſtia morum.,
  Sic terram Charites non habitare uolunt.
Iuramenta iuuant homines nunc falſa proteruos,
  Vixq;, Deos uerè qui uereatur, adeſt.
Deſijt eſſe ſuper genus hac ætate piorum,
  Nunc nec iure regi,nec pietate uolunt,
Dum cui uita manet, uidet & ſplendeſcere ſolem,
  Ipſe piè lætam ſpem retinere uelit.
Orandoq; Deos fſemora aris ſplendida adurat,
  Victima prima Spei, poſteriorq́; cadat.

Φραζέσθω δ' ἀδίκων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
οἳ θεῶν ἀθανάτων μηδὲν ὀπιζόμενοι.
Αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοις ἐπέχουσι νόημα,
Αἰσχρὰ κακοῖς ἔργοις σύμβολα θηκάμενοι.
Μή ποτε τὸν παρεόντα μεθεὶς φίλον ἄλλον ἐρεύνα,
Δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.
Εἴη μοι πλουτοῦντι κακῶν ἀπάτερθε μεριμνῶν
ζώειν ἀβλαβέως, μηδὲν ἔχοντι κακόν.
Οὔτ' ἔραμαι πλουτεῖν, οὔτ' εὔχομαι, ἀλλά μοι εἴη
ζῆν ἀπὸ τῶν ὀλίγων μηδὲν ἔχοντι κακόν.
Πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεί,
Οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις.
Ὣς δ' αὔτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει,
ἀλλ' ἔραται, θυμὸν δ' οὐ δύναται τελέσαι.
Οὐδένα θησαυρὸν καταθήσειν παισὶν ἄμεινον,
Αἰτοῦσιν δ' ἀγαθοῖς ἀνδράσι Κύρνε δίδου.
Οὐδεὶς γὰρ πάντ' ἐστὶ πανόλβιος, ἀλλ' ὁ μὲν ἐσθλὸς
Τολμᾷ ἔχων τὸ κακόν, οὐκ ἐπίδηλον ὅμως.
Δειλὸς δ' οὔτ' ἀγαθοῖσιν ἐπίσταται, οὔτε κακοῖσι
Θυμὸν ὁμῶς μίσγειν ἀθανάτων δὲ δόσεις.
Παντοῖαι θνητοῖσιν ἐπέρχοντ' ἀλλ' ἐπιτολμᾶν
Χρὴ δῶρ' ἀθανάτων, οἷα διδοῦσιν, ἔχειν.
Ὀφθαλμοί, καὶ γλῶσσα καὶ οὔατα καὶ νόος ἀνδρῶν
Ἐν μέσσῳ στηθῶν ἐν συνετοῖς φύεται.
Τοῖς ἀγαθοῖς σύμμισγε, κακοῖσι δὲ μή ποτ' ὁμάρτει
Εὖτ' ἂν ὁδοῦ τελέῃς, τέρματά τ' ἐμπορίης.
Τῶν ἀγαθῶν ἐσθλὴ μὲν ἀπόκρισις, ἐσθλὰ δὲ ἔργα·
Τῶν δὲ κακῶν ἄνεμοι δειλὰ φέρουσιν ἔπη.

Et prauo caueat tangi ſermone malorum,
Corde nihil curant qui leuiore Deos.
Quiq; facultates alienas fraude fatigant,
Quos operum prauos obuia ſigna probant.
Deſere præſtantem temerè ne motus amicum,
Neue nouum ſuaſu deteriore pares.
Diteſcens utinam ſine curis uiuere poßim,
Atq; malum nullo triſte labore pati.
Sed nec opum urget amor nimium, modo uita ſuperſit,
Paruis aucta bonis, nilq; ſecuta mali.
Neſcit opum expleri, & ſapiendi immenſa cupido,
Diuitiæ nequeunt hanc ſaturare famem.
Qui bonus ante alios, magis huic ſapientia curæ eſt,
Hanc amat, hac mentem nec ſaturare poteſt.
Theſaurum natis meliorem nemo recondet,
Quàm qui rebus egent, his dare ſponte uiris.
Parte ſat ex omni felix eſt nemo, laborem
Corde bonus uitæ uir pietate tegit.
At malus aduerſo ſeu caſu, ſiue ſecundo
Vtitur, haud animum cum ratione regit.
Dij uarijs olim mortales caſibus urgent,
Qui dare quæ gaudent, omnia ferre decet.
Lingua uiris, oculi, mens, & prudentibus aures,
In medio cauti pectoris eſſe ſolent.
Iunge bonos tibi, ſed prauos uitare memento,
Si qua uiam peregrè cauſa ſubire iubet.
Et reſponſa tibi proſunt, & facta bonorum,
Prauorum uenti uerba maligna ferunt.

Ἐκ καχεταιρείης κακὰ γίγνεται. εὖ δὲ καὶ αὐτὸς
 Γνώσῃ, ἐπεὶ μεγάλους ἤλιτες ἀθανάτους.
Γνώμην Κύρνε θεοὶ θνητοῖσι διδοῦσιν ἀρίστην
 Ἀνθρώπου γνώμη πείρατα παντὸς ἔχει.
Ὦ μάκαρ, ὅστις δή μιν ἔχει φρεσίν, ἦ πολὺ κρείσσων
 Ὕβριος οὐλομένης, λευγαλέου τε κόρου.
Ἔστι κακὸν δὲ βροτοῖσι κόρος, τῶν οὔ τι κάκιον,
 Πᾶσα γὰρ ἐκ τούτων Κύρνε πέλει κακότης,
Εἴθ' εἴης ἔργων αἰσχρῶν ἀπαθὴς, καὶ ἀεργὸς
 Κύρνε, μεγίστην κεν πεῖραν ἔχοις ἀρετῆς.
Κύρνε, θεοὺς αἰδοῦ, καὶ δείδιθι. τοῦτο γὰρ ἄνδρα
 Εἴργει μήθ' ἔρδειν, μήτε λέγειν ἀσεβῆ.
Δημοφάγον δὲ τύραννον ὅπως ἐθέλεις κατακλῖναι
 Οὐ νέμεσις πρὸς θεῶν γίγνεται οὐδεμία.
Νοῦς ἀγαθὸς, καὶ γλῶσσα, τάδ' ἐν παύροισι πέφυκεν
 Ἀνδράσιν, οἳ τούτων ἀμφοτέρων ταμίαι.
Οὔτις ἄποινα διδοὺς, θάνατον φύγοι, οὔτε βαρεῖαν
 Δυστυχίαν, εἰ μὴ μοῖρ' ἐπὶ τέρμα βάλοι.
Οὐδ' ἂν δυσφροσύνας, ὅτε δὴ θεὸς ἄλγεα πέμπει,
 Θνητὸς ἀνὴρ δώροις βουλόμενος προφύγοι.
Οὐκ ἔραμαι κλισμῷ βασιληΐῳ ἐγκατακεῖσθαι
 Τεθνεὼς, ἀλλά τι μοι ζῶντι γένοιτ' ἀγαθόν.
Ἀσπάλαθοι τάπησιν ὅμοιον στρῶμα θανόντι
 Τὸ ξύλον, ἢ σκληρὸν γίνεται, ἢ μαλακόν.
Μήτε θεοὺς ἐπίορκον ἐπόμνυθι. οὐ γὰρ ἀνεκτὸν,
 Ἀθανάτους κρύψαι χρεῖος ὀφειλόμενον.
Ὄρνιθος φωνὴν πολυπαίδη ὀξὺ βοώσης
 Ἤκουσ', ἥτε βροτοῖς ἄγγελος ἔστ' ἀρότου.

ὡραίου,

Magna ſodalitio prauo mala ſæpe mouentur,
Ipſe quod offendens experiêre Deos.
Dante Deo regit humanas ſapientia mentes,
Quælibet hac finem res moderante capit.
Quàm felix, hanc quisquis habet, petulantia morum
Huic, nec non ſatias noxia cedat opum.
Nil maiore nocet damno, quàm copia rerum,
Effectrice geri qua ſolet omne nefas.
Nil utinam patiare frequens, faciasúe malorum,
Sic graue uirtutum calcar habere putem.
Cyrne Deos reuerêre uolens, compeſceris illo,
Ne temere facias, neue loquare, metu.
Qui ferus enſe metit plebem, mactare Tyrannum
Fas eſt, à ſuperis ultio nulla uenit.
Docta regi paucis mens eſt & lingua, laborent
Harum qui dono conueniente frui.
Munera nulla uetant mortem, uitæq; labores,
Fine leuare niſi fata ſequente uelint.
Quos Deus ipſe ciet, nemo uitare dolores,
Præmia magna tamen promat ut ille, poteſt.
Membra cubare throno regali mortua nolim,
Debita uiuenti non bona deeſſe uelim.
Grata perinde dabunt tribuli, quàm ſtrata tapetes,
Sic ſeu mollis erit, duraúe ſponda, placet.
Ne teſtem fallace Deum fac ore, meretur
Pœnam, ſi qua tegi res profitenda ſolet.
Nos gruis argutæ uocem hauſimus aure ſonantem,
Vomere quæ uerti nuncia ſuadet humum.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-120808-p0107-0

ὡραίου, καί μοι κραδίην ἐπάταξε μέλαιναν,
　ὅττι μοι εὐανθεῖς ἄλλοι ἔχουσιν ἀγρούς.
Οὐδέ μοι ἡμίονοι κυφὸν ἕλκουσιν ἀρότρου,
　τῆς ἄλλης μνησθῆς εἵνεκα ναυτιλίης.
Οὐκ εἰμὶ, οὐδ' ὑπ' ἐμοῦ κικλήσεται, οὐδ' ἐπὶ τύμβῳ
　οἰμωχθεὶς, ὑπὸ γῆν εἶσι τύραννος ἀνήρ.
Οὐδ' ἂν ἐκείνου ἐμοῦ τεθνηότος οὔτ' ἀνιῷτο,
　οὔτε κατὰ βλεφάρων θερμὰ βάλοι δάκρυα.
Οὔτε σε κωμάζειν ἀπερύκομαι, οὔτε καλοῦμαι
　Ἀργαλέος παρεὼν, καὶ φίλος, εὖτ' ἂν ἀπῇς.
Αἴθων μὲν γένος εἰμὶ πόλιν δ' εὐτείχεα Θήβην,
　οἰκῶ, πατρῴας γῆς ἀπερυκόμενος.
Μή μ' ἀφελῶς παίζουσα, φίλους δ' ἔνναζε τοκῆας,
　Ἀργυρί, σοὶ μὲν γὰρ δούλιον ἦμαρ ἔπι.
ἡμῖν δ' ἄλλα μέν ἐστι γύναι κακὰ πολλ', ἐπεὶ ἐκ γῆς
　φευγόμεν, ἀργαλέη δ' οὐκ ἔπι δουλοσύνη.
Οὔθ' ἡμᾶς περνᾶσι, πόλις δέ μοί ἐστι καὶ ἡμῖν
　καλὴ, Ληθαίῳ κεκλιμένη πεδίῳ.
Μήποτε πὰρ κλαίουσι καθεζόμενοι γελάσωμεν,
　τοῖς αὐτῶν ἀγαθοῖς Κύρν' ἐπιτερπόμενοι.
Ἐχθρὸν μὲν χαλεπὸν, καὶ δυσμενῆ ἐξαπατῆσαι
　Κύρνε, φίλον δὲ φίλῳ ῥᾴδιον ἐξαπατᾶν.

Τοῦ αὐτοῦ.

Οὐδὲν Κύρν' ἀγαθῆς γλυκερώτερον ἄλλο γυναικός,
　μάρτυς ἐγὼ, σὺ δέ μοι γίνου ἀληθοσύνης.
Οὐδὲν Κύρν' ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα
　πημαίνει, θυμῷ δειλὰ χαριζομένη.
Πολλὰ φέρειν εἴωθε λόγος θνητοῖσι βροτοῖσι
　πταίσματα, τῆς γνώμης Κύρνε ταρασσομένης.

Vox animo mihi perculso mouet illa dolorem,
Quòd mihi florentes poßidet alter agros.
Mula nec ulla iugo curuo graue ducit aratrum,
Ceu sponsæ, quoniam me maris hausit amor.
Non ueniam licet aula uocet, lugere Tyrannum
Nec iuuet, extincto cum dedit urna locum.
Lugeat ille uelim nec me moriente uicißim,
Ex oculis calido gutta nec imbre cadat.
Nec conuiuari impedio, nec adesse rogabo,
Te magis absentem, quàm uel adesse uelim.
Incola nunc habito Theben ego Thessalus urbem,
Cogor & à patrijs exul abesse plagis.
Argyri ne nobis leuis obijce fœda parentes,
Nam seruile tibi iam propè tempus adest.
Me patrio pulsum satis orbe pericula uexant,
Sed seruile pati non ego cogor onus.
Nec precio uendunt domini nos, Dædala nobis
Vrbs sita Letæis laude superbit agris.
Non alijs ridere iuuet plorantibus unquam,
Et partis animo rebus ouante frui.
Hostem fraude labor perstringere, nullus amicum,
Nomen amiciciæ celat inane dolis.

Alia eiusdem.

Dulcius haud quicquam, quàm castis moribus uxor,
Illius ipse tibi, tu mihi testis eris.
Robore nil iræ uiolentius, officit illi,
Quem rapit, indulgens motibus ipsa suis.
Parturit errores multos mortalibus ægris
Sermo, laboranti quem ratione sonant.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-120808-p0109-5

# ΤΑ ΧΡΥΣΑ ΚΑΛΟΥΜΕΝΑ ΠΥΘΑΓΟΡΟΥ

ἔπη.

Ἀθανάτους μὲν πρῶτα θεούς, νόμῳ ὡς διάκειται,
τίμα, καὶ σέβου ὅρκον. ἔπειθ᾽ ἥρωας ἀγαυούς,
τούς τε καταχθονίους σέβε δαίμονας, ἔννομα ῥέζων.
τούς τε γονεῖς τίμα, τούς τ᾽ ἄγχιστ᾽ ἐκγεγαῶτας.
τῶν δ᾽ ἄλλων ἀρετῇ ποιεῦ φίλον ὅστις ἄριστος.
πραέσι δ᾽ εἶκε λόγοις, ἔργοισί τ᾽ ἐπωφελίμοισι.
μηδ᾽ ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς,
ὄφρα δύνῃ, δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.
ταῦτα μὲν οὕτως ἴσθι, κρατεῖν δ᾽ εἰθίζεο τῶνδε
γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου, λαγνείης τε,
καὶ θυμοῦ. πρήξεις δ᾽ αἰσχρόν ποτε μήτε μετ᾽ ἄλλου,
μήτ᾽ ἰδίῃ, πάντων δὲ μάλιστ᾽ αἰσχύνεο σαυτόν,
εἶτα δικαιοσύνην ἀσκεῖν, ἔργῳ τε λόγῳ τε.
μηδ᾽ ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε.
ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασι.
χρήματα δ᾽ ἄλλοτε μὲν κτᾶσθαι φιλεῖ, ἄλλοτ᾽ ὀλέσθαι.
ὅσσα τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε᾽ ἔχουσιν,
ὧν ἂν μοῖραν ἔχῃς, πράως φέρε, μηδ᾽ ἀγανάκτει.
ἰᾶσθαι δὲ πρέπει καθόσον δύνῃ. ὧδε δὲ φράζευ,
οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.
πολλοὶ δ᾽ ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοί
προσπίπτουσ᾽, ὧν μήτ᾽ ἐκπλήσσεο, μήτ᾽ ἂρ ἐάσῃς
εἴργεσθαι σαυτόν. ψεῦδος δ᾽ ἢν πέρ τι λέγηται,
πράως εἶχ᾽. ὃ δέ τοι ἐρέω ἐπὶ παντὶ τελείσθω.

μηδείς

# AVREA PYTHAGORÆ CARMINA.

aliquid lege sancire

PRincipio uenerâre Deos, ceu lege receptum est.
Et cole iusiurandum, & claros laude suarum
Rerum heroas, itemq́; Deos, quos terra recondit,
Legitimo placare sacro quos conuenit olim.
Inde patrem, matremq́; tuam, & tibi sanguine iunctos.
Antè alios cordi cui uirtus, effice amicum.
Cede lubens placidis dictis, quod & utile, facto.
Succensere leuem ob noxam uerearis amico,
Vt ualeas ope, egens qua sors uicina moratur.
Hæc præcepta tene, sed & his assuesce potiri:
Ingluuies, ignaua quies, lasciuia morum
Cedat, & ira. Nec auxilio utens turpe quid unquam,
Nec sine teste geras, plus te uereare sed unum.
Iusticiæ ore simul, factisq́; loquaris amorem.
Rem temerè nullam uicijs assuesce gerendi.
Esse malum commune mori memor omnibus esto.
Crescere diuitias, dilabi & cernimus olim.
Sors diuina mouet uitæ si quando laborem,
Tuq́; subis partem, non indignare ferendo.
Sed sanare pares quantum potes, & memor esto,
Nulla bonis nimium præbent quòd fata malorum.
Sermones alij placidos, alij secus edunt,
Tu moueare caue, nec cœpti desere curam.
Quòd te si qua petant mendacia, uince ferendo.
Totius hanc uitæ ne neglige tempore normam,



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-120808-p0111-3

μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ
πρῆξαι, μηδ' εἰπεῖν ὅ, τι τοι μὴ βέλτερόν ἐστι.
βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μωρὰ πέληται.
δειλοῦ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀνδρός.
ἀλλὰ τάδ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσῃ.
πρῆσσε δὲ μηδὲ ἓν ὧν μὴ ἐπίστασαι, ἀλλὰ διδάσκευ
ὅσσα χρεών, καὶ τερπνότατον βίον ὧδε διάξεις.
οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή,
ἀλλὰ ποτοῦ τε μέτρον, καὶ σίτου, γυμνασίων τε
ποιεῖσθαι. μέτρον δὲ λέγω τόδ', ὃ μή σ' ἀνιήσῃ.
εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον.
καὶ πεφύλαξό γε ταῦτα ποιεῖν, ὁπόσα φθόνον ἴσχει.
μὴ δαπανᾶν παρὰ καιρὸν ὁποῖα καλῶν ἀδαήμων,
μηδ' ἀνελεύθερος ἴσθι. μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.
πρῆσσε δὲ ταῦθ' ἅ σε μὴ βλάψῃ, λόγισαι δὲ πρὸ ἔργου.
μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν,
πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη;
ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι, καὶ μετέπειτα
δειλὰ μὲν ἐκπρήξας ἐπιπλήσσεο, χρηστὰ δὲ τέρπου.
ταῦτα πόνει. ταῦτ' ἐκμελέτα, τούτων χρὴ ἐρᾶν σε,
ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει.
ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτύν,
παγὰν ἀενάου φύσεως. ἀλλ' ἔρχευ ἐπ' ἔργον,
θεοῖσιν ἐπευξάμενος τελέσαι. τούτων δὲ κρατήσας
γνώσεαι ἀθανάτων τε θεῶν, θνητῶν τ' ἀνθρώπων
σύστασιν, ᾗ τε ἕκαστα διέρχεται, ᾗ τε κρατεῖται.

γνώσῃ

Ore tibi nemo, aut facto persuadeat autor,
Vt facias temerè, dicasúe, quod utile non est.
Antè, geras quàm rem sape, ne stultum arguat error.
Et faciens temerè, dicensq́; malignus habetur.
Hæc fac ergo, tibi quæ non, si feceris, obsint.
Ne molire, parum quæ noris, quanta sed æquum
Disce uolens, & ages plenam dulcedine uitam.
Curandi uigilem ne corporis exue curam.
Certa cibum & potum regat, ac mensura laborem,
Quam tamen esse uelim, non lædat ut anxia uires.
Tu sine delicijs mundam sortire diætam,
Et patrare caue, inuidiæ quæ semina præbent.
Ne sumptum facias, iubeat nisi tempus, inanem
Prodigus, aut nimis esto tenax, modus optima res est.
Fac, quæ non lædant autorem, & respice finem.
Nec mollem uigiles oculi somnum antè capessant,
Gesta die toto quàm ter reuocentur ad unguem:
Quænam præterij, quæ feci debitor, aut non?
A primo incipiens opere ire per omnia pergas.
Ob malè te tangat dolor, ob secus acta uoluptas.
Hæc age, curæ hæc sint, & amare hæc desine nunquam,
Te diuinam ad uirtutem hæc uestigia ducent.
Hoc fore, non uerear numero iurare quaterno,
Perq́; Deum, unde salus animarum fonte perenni.
Incipiens opus omne Deos prece posce, secundent.
Hæc memor obserua, tum mox hominumq́;, Deûmq́;
Cognosces quo more piè commercia fiant,
Quorum plena uides seruentur ut omnia nutu,

Quoq;

γνώσῃ δ', ᾗ θέμις ἐστὶ, φύσιν περὶ παντὸς ὁμοίην.
ὥστε σε μήτε ἄελπτ' ἐλπίζειν, μήτε τι λήθειν.
γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας,
τλήμονες οἵ τ' ἀγαθῶν πέλας ὄντων οὐκ ἐσορῶσιν,
οὔτε κλύουσι. λύσιν δὲ κακῶν παῦροι συνιᾶσι,
τοίη μοῖρα βροτῶν βλάπτει φρένας. οἱ δὲ κυλίνδροις
ἄλλοτ' ἐπ' ἄλλα φέρονται ἀπείρονα πήματ' ἔχοντες.
λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθε,
σύμφυτος, ἣν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύγειν.
Ζεῦ πάτερ, ἦ πολλῶν τε κακῶν παύσειας ἅπαντας,
ἢ πᾶσιν δείξαις οἵῳ τῷ δαίμονι χρῶνται.
ἀλλὰ σὺ θάρσει, ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
ὧν εἴ σοί τι μέτεστι, κρατήσεις ὧν σε κελεύω
ἐξακέσας, ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις.
ἀλλ' εἴργου βρωτῶν ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
ἔν τε λύσει ψυχῆς, κρῖνον καὶ φράζου ἕκαστα,
ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.
ἢν δ' ἀπολείψας σῶμα ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
ἔσσεαι ἀθάνατος θεός, ἄμβροτος, οὐκέτι θνητός.

ΤΕΛΟΣ.

Φείδεο σῆς ζωῆς, μὴ μιν καταθυμοβορήσῃς.

## ΦΩΚΥΛΙΔΟΥ ΠΟΙΗΜΑ
## νουθετικόν.

Μήτε γαμοκλοπέειν, μὴ ἀσελγέα κύπριν ὀρίνειν,
μήτε δόλους ῥάπτειν, μήθ' αἵματι χεῖρα μιαί-
μὴ πλουτεῖν ἀδίκως, ἀλλ' ἐξ ὁσίων βιοτεύειν. (νειν.

Quoq; modo fas est, naturam tempore disces
Æterno similem, ut quæ non speranda uidentur,
Non sperare uelis, poßitq́; latere nihil te.
Mortales uideas accersere sponte laborem,
Non qui sæpe uident, bona quæ uicina morantur.
Aut audire solent, mala pauci sistere norunt.
Talis agit mentes hominum sors, more rotarum
In mala præcipites nunc hæc, nunc illa trahuntur.
Obficit his temerè rixandi innata cupido,
Quam nocet accersi, procul expedit inde fugari.
Iupiter alme parens, aut uim compesce malorum
Omnibus, aut ostende queant qua sorte potiri.
Quisquis es ô confide tamen, cœlestis origo
Est hominum, nil sancta quibus natura negauit.
Huius erit tibi doctrinæ si cura tuendo,
Quæ iubeo, redimes rerum à discrimine uitam,
Auersare cibos, quos dixi, quæq́; repurgent
A curis, reuocentq́; tuam circumspice mentem.
Optima dux ratio aurigæ te more gubernet.
Æthereum posito cùm liber adiueris orbem
Corpore, tum uiues æterno more Deorum.

Finis.

Parce tuæ uitæ, fragilem nec confice curis.

## PHOCYLIDIS POEMA morale.

FVrta tori uites alieni, & Cypridos ignes
Lasciuæ, nec necte dolos, aut pollue dextram
Sanguine, nec ditesce bonis nisi iure repertis.

Quæ

ἀρκεῖσθαι παρεοῦσι, καὶ ἀλλοτρίων ἀπέχεσθαι.
ψεύδεα μὴ βάζειν, τὰ δ' ἐτήτυμα πάντ' ἀγορεύειν.
πρῶτα θεὸν τίμα, μετέπειτα δὲ σεῖο γονῆας.
πᾶσι δίκαια νέμειν, μηδὲ κρίσιν ἐς χάριν ἕλκειν.
μὴ ῥίψῃς πενίην, ἀδίκως μὴ κρῖνε πρόσωπον,
ἢν σὺ κακῶς δικάσῃς, σὲ θεὸς μετέπειτα δικάσσει.
μαρτυρίην ψευδῆ φεύγειν, τὰ δίκαι' ἀγορεύειν.
παρθενίην τηρεῖν, πίστιν δ' ἐν πᾶσι φυλάσσειν.
μέτρα νέμειν τὰ δίκαια, καλὸν δ' ἐπίμετρον ἅπασι.
σταθμὸν μὴ κρούειν ἑτερόζυγον, ἀλλ' ἴσον ἕλκειν.
μήτ' ἐπιορκήσῃς, μήτ' ἀγνὼς, μήτε ἑκοντί.
ψεύδορκον στύγει θεὸς ἄμβροτος ὅστις ὀμόσσῃ.
σπέρματα μὴ κλέπτειν, ἐπαράσιμος ὅστις ἄρηται.
μισθὸν μοχθήσαντι δίδου, μὴ θλῖβε πένητα.
γλώσσῃ νοῦν ἐχέμεν, κρυπτὸν λόγον ἐν φρεσὶν ἴσχειν.
μήτ' ἀδικεῖν ἐθέλῃς, μήτ' οὖν ἀδικοῦντα ἐάσῃς,
πτωχῷ δ' εὐθὺ δίδου, μήτ' αὔριον ἐλθέμεν εἴπῃς
πληρώσας σέο χεῖρ' ἔλεον χρήζοντι παράσχου.
ἄστεγον εἰς οἶκον δέξαι, καὶ τυφλὸν ὁδήγει.
ναυηγοὺς οἴκτειρον, ἐπεὶ πλόος ἐστὶν ἄδηλος.
χεῖρα πεσόντι δίδου, σῶσον δ' ἀπερίστατον ἄνδρα,
κοινὰ πάθη πάντων, ὁ βίος τροχὸς, ἄστατος ὄλβος.
πλοῦτον ἔχων σὴν χεῖρα πενητεύουσιν ὄρεξον.
ὧν σοι ἔδωκε θεὸς, τούτων χρήζουσι παράσχου.
ἔστω κοινὸς ἅπας ὁ βίος, καὶ ὁμόφρονα πάντα.
τὸ ξίφος ἀμφιβαλοῦ μὴ πρὸς φόνον, ἀλλ' ἐς ἄμυναν.
εἴθε δὲ μὴ χρήζοις μήτ' ἔννομα, μήτ' ἀδίκως γε.
ἢν γὰρ ἀποκτείνῃς ἐχθρὸν, σέο χεῖρα μιαίνεις.

ἀγροῦ

Quæ præstò, bona sufficiant, aliena relinquas.
Prima Deûm coluisse sit, altera cura parentes,
Æquus adesse uelis iudex, nec quære fauorem,
Si iudex oberis, Deus est qui iudicet olim,
Nil falso te teste geras, fas iusta probari.
Virginitas tutanda, fidem uiolare caueto.
Iusta decet mensura, modum utile ponere rebus,
Deprime non unam lancem, æqua sit utraq; cures.
Lingua uolente caue te, inuito aut peieret unquam,
Hunc Deus odit, amat fera qui periuria linguæ.
Ne sata deme dolis, hoc execrabile furtum.
Solue laboranti mercedem, angas nec egentem.
Linguam mente regas, arcanamq; occule uocem.
Ipse caue iniustè quid ágasúe, sinasúe uolentem.
Da citò quærenti, ne manè reuertere dicas.
Larga probet pronam miserescere dextera mentem.
Qui caret hospitio recipe, & cæci rege gressum.
Naufragium adfer opem paßis, labor occupat undas.
Porrige labenti dextram, & succurre petenti.
Est commune pati. Trochus, atq; caduca uoluptas
Vita. Manum largam tu præbe diues egenti.
Quæ Deus ampla dedit, largire petentibus ultrò.
Vita bonum commune sit, & concordia rerum.
Non cædem ense feram molire, sed adsere uitam,
Sed nec iure, nec iniuste indigeas precor armis.
Nam licet occidas hostem, rea dextera pœnæ est.

11. pro. ἀγροῦ γείτονος ὄντος ἀπόχεο, μηδ' ἄρ' ὑπερβῇς.
πάντων μέτρον ἄριστον, ὑπερβασίαι δ' ἀλεγειναί,
μηδέ τιν' αὐξόμενον καρπὸν λωβήσῃ ἀρούρης.
12. ἔστωσαν δ' ὁμότιμοι ἐπήλυδες ἐν πολιήταις.
πάντες γὰρ ξενίης πειρώμεθα τῆς πολυπλάγκτου,
χώρη δ' οὔτι βέβαιον ἔχει πέδον ἀνθρώποισιν.
13. ἡ φιλοχρημοσύνη μήτηρ κακότητος ἁπάσης.
χρυσός ἀεὶ δόλος ἐστὶ καὶ ἄργυρος ἀνθρώποισι.
χρυσὲ κακῶν ἀρχηγὲ, βιοφθόρε, πάντα χαλέπτων,
εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν.
σοῦ γὰρ ἕκητι μάχαι τε, λεηλασίαι τε, φόνοι τε,
ἐχθρὰ δὲ τέκνα γονεῦσιν, ἀδελφειοί τε συναίμοις.
μηδ' ἕτερον κεύθῃς κραδίῃ νόον, ἀλλ' ἀγορεύων.
μηδ' ὡς πετροφυὴς πολύπους κατὰ χῶραν ἀμείβου.
ὅστις ἑκὼν ἀδικεῖ, κακὸς ἀνήρ, ἀλλ' ὑπ' ἀνάγκης,
οὐκ ἐρέω τὸ τέλος, βουλὴν δ' εὔθυνε ἑκάστου.
μὴ γαυροῦ σοφίῃ, μήτ' ἀλκῇ, μήτ' ἐνὶ πλούτῳ,
εἷς θεός ἐστι σοφός, δυνατός θ' ἅμα καὶ πολύολβος.
μηδὲ παροιχομένοισι κακοῖς τρύχου τὸν ἦτορ.
οὐκέτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄτυκτον.
14. μὴ προπετὴς ἐς χεῖρα, χαλίνου δ' ἄγριον ὀργήν,
πολλάκι γὰρ πλήξας ἀέκων φόνον ἐξετέλεσσεν.
ἔστω κοινὰ πάθη, μηδὲν μέγα, μηδ' ὑπέροπλον,
οὐκ ἀγαθὸν πλεονάζον ἔφυ θνητοῖσιν ὄνειαρ.
15. ἡ πολλὴ δὲ τρυφὴ πρὸς ἀμέτρους ἕλκει ἔρωτας.
ὑψαυχεῖ δ' ὁ πολὺς πλοῦτος, καὶ ἐς ὕβριν ἀέξει,
θυμὸς ὑπερχόμενος μανίην ὀλοόφρονα τεύχει,
ὀργὴ δ' ἐστὶν ὄρεξις, ὑπερβαίνουσα δὲ μῆνις.

ζῆλος

Quâ uia nulla caue uicinos ire per agros.
Optima res modus est, excessus inutilis error.
Ne segetem lædas, teneris quæ adolescit aristis.
Vnam dante ferat te ciuis, & aduena laudem,
Nos peregrinandi uariè labor excipit omnes,
Terra quibus tutam dare nescit maxima sedem.
Prodit auaritiam scelerum experientia matrem.
Dira fames auri, atq; argenti decipit omnes,
Dux scelerum, uitæq; lues, cuiq; omnia cedunt,
Aurum, utinam non esse malum exoptabile posses.
Ob te bella uigent, prædæq;, cruentaq; cædes,
Seq; odisse solent fratres, natiq; parentes,
Non aliam simules mentem, quàm lingua fatetur.
More caue Polypi mutari saxa tenentis.
Est, qui sponte nocet, malus, at res si qua coëgit,
Non malus omnino. Cuiusq; uidenda uoluntas.
Nec sapiens iacta, nec opum, nec roboris hæres
Esse, potens Deus est, sapiensq;, beatus & idem.
Præteritis animum non ange laboribus æger,
Nequicquam quia facta uoles infecta uicißim.
Noli armare manum præceps, iræ inijce frenos.
Sæpe necem feriens alium non sponte peregit.
Adfectus moderare, nihil sublime petendo.
Rebus in humanis excessus inutile damnum.
Magnus ad illicitos rerum aufert luxus amores,
Copiaq; inflat opum, & petulantes reddit agendo.
Impetus audendi nocuo ciet arma furori.
Lenius incitat ira, modum iracundia transit.

16. ζῆλος τῶν ἀγαθῶν ἐσθλὸς, φαύλων δ' ὑπέροργος,
τόλμα κακῶν ὀλοὴ, μέγ' ὀφέλλει δ' ἐσθλὰ πονοῦντας.
σεμνὸς ἔρως ἀρετῆς, ὁ δὲ κύπριδος αἶσχος ὀφέλλει.
ἡδὺς ἀγανόφρων κικλήσκεται ἐν πολιήταις,
17. μέτρῳ μὲν φαγέειν καὶ πιεῖν, μυθολογεῖν τε.
πάντων μέτρον ἄριστον, ὑπερβασίη δ' ἀλεγεινή.
18. μὴ φθονέοις ἀγαθῶν ἑτάροις, μὴ μῶμον ἀνάψῃς,
ἄφθονοι οὐρανίδαι καὶ ἐν ἀλλήλοις τελέθουσιν.
οὐ φθονέει μήνη πολὺ κρείσσοσιν ἡλίου αὐγαῖς,
οὐ χθὼν οὐρανίοις ὑψώμασι νέρθεν ἐοῦσα,
οὐ ποταμοὶ πελάγεσσιν, ἀεὶ δ' ὁμόνοιαν ἔχουσιν.
εἰ γὰρ ἔρις μακάρεσσιν ἔην, οὐκ ἂν πόλος ἔστη.
19. σωφροσύνην δ' ἀσκῶν, αἰσχρῶν δ' ἔργων ἀπέχεσθαι.
μὴ μιμοῦ κακότητα, δίκῃ δ' ἀπάλεξον ἄμυναν
πειθὼ μὲν γὰρ ὄνειαρ, ἔρις δ' ἔριν ἀντιφυτεύει.
μὴ πίστευε τάχιστα, πρὶν ἀτρεκέως πέρας ὄψει.
νικᾶν εὖ ἔρδοντας ἐπὶ πλεόνεσσι καθήκει,
καλὸν ξενίζειν ταχέως λιταῖσι τραπέζαις,
ἢ πλείσταις δολίαισι βραδυνούσαις παρὰ καιρόν.
μηδέποτε χρήσῃς πικρὸς γίνῃ ἀνδρὶ πένητι.
μηδέ τις ὄρνιθας καλιῆς ἅμα πάντας ἑλέσθω,
μητέρα δ' ἐκπρολίπῃς, ἵν' ἔχῃς πάλι τῆσδε νεοσσούς.
21 μηδέποτε κρίνειν ἀδαήμονας ἄνδρας ἐάσῃς.
τὴν σοφίην σοφὸς ἰθύνει, τέχνας δ' ὁμότεχνος.
οὐ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκούειν.
οὐ γὰρ δὴ νοέουσ' οἱ μηδέποτ' ἐσθλὰ μαθόντες,
22 μηδὲ τραπεζοκόρους κόλακας ποιεῖσθαι ἑταίρους,
πολλοὶ γὰρ πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι.

καιρὸν

Universitäts- u. Landesbibliothek Halle/S.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-120808-p0120-2

Virtutum prodest, nocet æmula cura malorum.
In uicijs conatus obest, res munit honestas.
Sic uirtutis amor prodest, Venere officit uri.
Ciuibus esse solet uir prudens ipsa uoluptas.
Inq; cibo, potuq; modum, & sermone teneto.
Optima res modus est, excessum lædere nôris.
Inuideas bona ne socijs, neue argue Momum,
Non inter sese inuidiæ Dij peste laborant.
Non Soli radios insignes pallida Phœbe
Inuidet, æthereis aut sedibus infima tellus,
Aut fluuij pelago, fouet his concordia pacem.
Dijs si bella forent, quaterent hæc ætheris orbem.
Temperet ordo cibum, & potum, & quæ turpia, uites.
Non imitare feros mores, uim iure repelle.
Vtile persuaderi olim. Lis obuia liti.
Fide parum antè, licet certum quàm noscere finem.
Certantes prodesse tibi, benè uince merendo.
Hospitibus melius frugales promere mensas,
Quàm lautas, mora suspectas quas esse fatetur.
Esse uiri caueas exactor acerbus egeni.
Ausit aues nido cunctis auferre relicto
Nemo, sinas, pullis iterum ut potiare, parentes.
Iudicium ignaros ne rebus inutile poscas,
Qui sapit, hoc ferat, artificis mens iudicet artem.
Ferre nequit doctrinam ignarus, ut audiat illam.
Non sapiunt, quorum mens non exculta docendo est.
Ne fac, spe tibi qui mensæ assentantur, amicos.
Quorum quisq; cibo multos, potuq; parabit,

καιρὸν θωπεύοντες, ἐπὴν κορέσασθαι ἔχωσιν,
ἀχθόμενοι δ' ὀλίγοις, καὶ πολλοῖς πάντες ἄπληστοι,
λαῷ μὴ πίστευε, πολύτροπός ἐστιν ὅμιλος.
λαός τοι καὶ ὕδωρ καὶ πῦρ ἀκατάσχετα πάντα.
μηδὲ μάτην ἐπὶ πῦρ καθίσας μινύθῃς φίλον ἦτορ,
μέτρα δὲ τεῦχε θεοῖσι. τὸ γὰρ μέτρον ἐστὶν ἄριστον.
γαῖαν ἐπιμοιρᾶσθαι ἀταρχεύτοις νεκύεσι.
μὴ τύμβον φθιμένων ἀνορύξῃς, μηδ' ἀθέατα
δείξῃς ἡλίῳ, καὶ δαιμόνιον χόλον ὄρσῃς.
οὐ καλὸν ἁρμονίην ἀναλυέμεν ἀνθρώποισι.
καὶ τάχα δ' ἐκ γαίης ἐλπίζομεν ἐς φάος ἐλθεῖν
λείψαν' ἀποιχομένων, ὀπίσω δὲ θεοὶ τελέθονται,
ψυχαὶ γὰρ μίμνουσιν ἀκήριοι ἐν φθιμένοισι.
πνεῦμα γάρ ἐστι θεοῦ χρῆσις θνητοῖσι, καὶ εἰκών.
σῶμα γὰρ ἐκ γαίης ἔχομεν, καὶ πάντες ἐς αὐτὴν
λυόμενοι κόνις ἐσμέν, ἀὴρ δ' ἀνὰ πνεῦμα δέδεκται.
πλούτου μὴ φείδου, μέμνησ' ὅτι θνητὸς ὑπάρχεις.
οὐκ ἔν ἐς ᾅδην ὄλβον ἔχειν καὶ χρήματ' ἄγεσθαι,
πάντες ἴσοι νεκύων. ψυχῶν δὲ θεὸς βασιλεύει.
κοινὰ μέλαθρα δόμων αἰώνια καὶ πατρὶς ᾅδης,
ξυνὸς χῶρος ἅπασι, πένησί τε καὶ βασιλεῦσιν,
οὐ πολὺν ἄνθρωποι ζῶμεν χρόνον, ἀλλ' ἐπὶ καιρόν,
ψυχὴ δ' ἀθάνατος καὶ ἀγήρως ζῇ διαπαντός.
μήτε κακοῖς ἄχθου, μήτ' οὖν ἐπαγάλλεο χάρμῃ.
πολλάκις ἐν βιότῳ καὶ θαρσαλέοισιν ἄπιστον.
καιρῷ λατρεύειν, μηδ' ἀντιπνέειν ἀνέμοισι.
πῆμα, καὶ ἀχθομένοισι κακοῦ λύσις ἤλυθεν ἄφνω,
μὴ μεγαληγορίῃ ξυνῷ φρένα λυσσωθείης.

Qui blando captant, ut pascas, ore fauorem.
Contentos nunquam paruo haud explere ualebis.
Crede parum uulgo, cunctas mutatur in horas
Vulgus, aquam, magni frenare laboris, & ignem.
Carpat iners animum ne cura sedentis ad ignem.
Adde modum sacris, est optimus ille, colendis.
More pio condas inhumata cadauera tumbis.
Non aperire sepulcra uelis, uetitamq; uideri
Rem ne soli expone, Deûm hoc scelus excitat iram.
Est compage nefas dissolui iuncta uirorum
Membra, statim quorum rediturasq esse sub auram
Relliquias spes est, similes Dijs inde manebunt.
Nulla lues animam defuncto corpore tangit.
Spiritus ille Dei est homini concessus imago.
Artus terra dedit, uersi, nisi puluis, in ipsam,
Nil sumus, ast animæ spiracula suscipit æther.
Diuitijs ne parce, mori communne memento.
Respuit orcus, opes portandi huc nulla potestas.
Sorte pari defuncti, animas Deus adserit horum,
Communesq; domos, & eandem Tartara sedem
Præbent atra locum uulgo cum regibus unum.
Est breue, mortales uitam quo ducimus æuo.
Morte carent animæ, nec eædem ætate senescunt.
Non decet aduersis angi, efferriúe secundis.
Rebus & est certis quondam non fidere tutum.
Tempore disce regi, noliq; resistere uentis.
Nam nocet, hora malis tristantes liberat ultrò.
Lingua superba caue mentem insanire loquatur,

εὐεπίην ἀσκεῖν, ἥ τοι μάλα πάντας ὀνήσει.
ὅπλον τοι λόγος ἀνδρὶ τομώτερόν ἐστι σιδήρου,
ὅπλον ἑκάστῳ νεῖμε θεός, φύσιν ἠροφοίτοιν
ὄρνισι μὲν, πολλῶν ταχυτῆτ' ἀλκήν τε λέουσι,
ταύροις δ' αὐτοχύτοις κεράεσιν, κέντρα μελίσσαις
ἔμφυτον ἄλκαρ ἔδωκε, λόγον δ' ἔρυμ' ἀνθρώποισι,
τοῖς δὲ θεοπνεύστου σοφίης λόγος ἐστὶν ἄριστος.
βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ.
ἀγρούς καὶ πόλιας σοφίη καὶ νῆα κυβερνᾷ.
οὐχ ὅσιον κρύπτειν τὸν ἀτάσθαλον ἄνδρα ἀλιτρόν,
ἀλλὰ χρὴ κακοεργὸν ἀποτροπάασθαι ἀνάγκῃ.
πολλάκι συνθνήσκουσι κακοῖς οἱ συμπαρεόντες,
φωρῶν μὴ δέξῃ κλοπίμην ἀνδρῶν παρὰ θήκην.
ἀμφότεροι κλῶπες, καὶ ὁ δεξάμενος, καὶ ὁ κλέψας.
μοίρας πᾶσι νέμειν, ἰσότης δ' ἐν πᾶσιν ἀρίστη.
ἀρχόμενος φείδου πάντων, μὴ τέρμ' ἐπιδεύῃς.
μὴ κτήνους θνητοῖο βορὴν κατὰ μέτρον ἕληαι.
κτῆνος δ' ἢν ἐχθροῖο πέσῃ καθ' ὁδὸν συνέγειρον,
πλαζόμενόν τε βροτὸν καὶ ἀλίτροπον μηδ' ὑπαλύξῃς.
βέλτερον ἀντ' ἐχθροῦ τυχέειν φίλου εὐμενέοντος.
ἀρχόμενον τὸ κακὸν κόπτειν, ἕλκος τ' ἀκέσασθαι.
μηδέ τι θηροβόρον δαίσῃ κρέας, ἀργίποσιν δὲ
λείψανα λεῖπε κυσίν, θηρῶν ἀπὸ θῆρες ἔδονται.
φάρμακα μὴ τεύχειν, μαγικῶν βίβλων ἀπέχεσθαι.
νηπιάχοις ἁπαλοῖς μὴ μάρψῃς χεῖρα βιαίως.
φεῦγε διχοστασίην καὶ ἔριν πολέμου προσιόντος.
μὴ κακὸν εὖ ἔρξῃς, σπείρειν ἴσον ἐς ἐνὶ πόντῳ,
ἐργάζευ μοχθῶν ὡς ἐξ ἰδίων βιοτεύσῃς,

πᾶς

Quæ ſonet eloquio ſuaui, omnibus unde uoluptas.
Sermo dat arma uiro, uel quæ magis acria ferro.
Scutum cuiq; ſuum eſt, auium natura per auras
Fertur, eunt celeri pede, uiq; feroce leones.
Sponte ualent natis tauri armis, cuſpide apum gens.
Præbet opem natura, uirum data lingua tuetur,
Optimus inſpirante Deo ſonat auſpice ſermo.
Anteit excellens magnas ſapientia uires,
Quæ mare, quæ pagos regina gubernat, & urbes.
Autorem ſcelerum res eſt non æqua tueri.
Qui malus, auerſari omni ſtudio expedit illum.
Sæpe ſimul pereunt, & qui conſentit, & autor.
Furis apud te deponi res dedecet ullas.
Qui rapit, & qui ſeruat, eodem crimine fures.
Cuiq; ſuum tribuas, ſeruant æqualia pacem.
Parce bonis primùm, ne finem tangat egeſtas.
More cibos prohibente boum non appete carnes.
Lapſa tui cum bos inimici eſt, ſponte leuato.
Errantem, inq; mari uerſantem deſere nunquam.
Quàm nocuos hoſtes, acquirere præſtat amicum.
Naſcens deme malum, & cura ulceris arte dolorem.
Ambeſam morſu carnem ne mande ferarum.
Hæc iuuet eſca canes, cibus eſt fera iure ferarum.
Ne qua uenena pares. Magicis non utere libris.
Ne teneri mollem pueri ui comprime palmam.
Tu dare lite caue turbas, cum bella propinquant.
Ingratis prodeſſe, uelut dare ſemina ponto eſt.
Quære laborando, quorum uſum uita requirit.

πᾶς γὰρ ἀεργὸς ἀνὴρ ζώει κλοπίμων ἀπὸ χειρῶν.
μηδ' ἄλλου παρὰ δαιτὸς ἔδοις σκυβάλισμα τραπέζης,
ἀλλ' ἀπὸ τῶν ἰδίων βιότων φαγέοις ἀνύβριστος,
εἰ δέ τις οὐ δεδάηκε τέχνην, σκάπτοιτο δικέλλῃ.
ἔστι βίῳ πᾶν ἔργον, ἐπὰν μοχθεῖν ἐθέλησθα,
ναυτίλης εἰ πλώειν ἐθέλεις, εὐρεῖα θάλασσα.
εἰ δὲ γεωπονίην πεθέπειν, μακραί τοι ἄρουραι.
οὐδὲν ἄνευ καμάτου πέλει ἀνδράσιν εὐπετὲς ἔργον,
οὐδ' αὐτοῖς μακάρεσσι, πόνος δ' ἀρετὴν μέγ' ὀφέλλει.
μύρμηκες γαίης μυχάτους προλελοιπότες οἴκους
ἔρχονται βιότοιο κεχρημένοι, ὁππότ' ἄρουραι
λήια κειράμεναι καρπῶν πλήθουσιν ἀλωάς.
οἱ δ' αὐτοὶ πυροῖο νεοτριβὲς ἄχθος ἔχουσι,
ἢ κριθῶν. αἰεὶ δὲ φέρων φορέοντα διώκει.
ἐκ θέρεος ποτὶ χεῖμα βορὴν σφετέρην ἐπάγοντες
ἄτρυτον, φῦλον δ' ὀλίγον πλέθει πολύμοχθον.
κάμνει δ' ἠεροφοῖτος ἀριστόπονός τε μέλισσα,
ἠὲ πέτρης κοίλης κατὰ χηραμὸν, ἢ δονάκεσσιν,
ἢ δρυὸς ὠγυγίης κατὰ κοιλάδος ἔνδοθι σιμβλῶν
σμήνεσι μυριότητα κατ' ἄνθεα κηροδομοῦσα.
μὴ μείνης ἄγαμος, μή πως νώνυμος ὄληαι,
δός τι φύσει καὐτὸς, τέκε δ' ἔμπαλιν ὡς ἐλοχεύθης.
μὴ προαγωγεύσης ἄλοχον σέο τέκνα μιαίνων.
οὐ γὰρ τίκτει παῖδας ὁμοίους μοιχικὰ λέκτρα.
μητρυῆς μὴ ψαῦε γε δεύτερα λέκτρα γονῆος,
μητέρα δ' ὡς τίμα τὴν μητέρος ἴχνια βᾶσαν.
μηδὲ κασιγνήτης ἐς ἀπότροπον ἐλθέμεν εὐνήν.
μὴ δ' ἐπὶ παλλακίοισι πατρὸς λεχέεσσι μιγείης,

μηδὲ

Qui piger est, furace manu se pascit inertem.
Ne, qua mensa canes alit, appete sordidus escam.
Sed proprijs tu uiue bonis, & nemo reprendet.
Qui caret arte, uelit fodiendo ferre laborem.
Vita laborandi cupidis opus omne ministrat.
Quòd si naue uehi iuuat æquora lata patescunt.
Si cultura soli, rus amplos exhibet agros.
Res sine difficili non ulla labore paratur,
Dijs etiam. Virtus trahit aucta labore uigorem.
Formicæ, quas terra domos dat opaca, relinquunt
Deficiente cibo, orbari cum frugibus agri
Incipiunt, plenis iamq; horrea meßibus implent.
Grana recens cogunt paleis exclusa relictis
Triticea, hordeaúe hæ, post gestantem altera tendit.
Dum licet, hybernas gens uictum condit in horas.
Vile quidem genus, at patiens sine fine laboris.
Aëris ire uias quoq; nata laborat apum gens,
Cui caua petra domos, aut uilis arundo ministrat.
Aut antiqua cauæ stirps arboris. Arte sagaci
Tecta parant florum stipato cerea succo.
Ne cœlebs maneas, famam ne funera demant.
Da quid naturæ ipse, uelut genuêre parentes.
Prostituens uxorem infames ne effice natos.
Nam Venus eximiam non gignit adultera prolem.
Consuetæ cum patre torum non tange nouercæ.
Sed cole ceu matrem, uestigia matris euntem.
Iure graui uetitum ne lectum accede sororis,
Aut patris, est cui mos cum pellice forte cubandi.

Non

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-120808-p0127-1

μηδὲ γυνὴ φθόρῃ βρέφος ἔμβρυον ἔνδοθι γαστρός,
μηδὲ τεκοῦσα κυσὶν ῥίψῃ καὶ γυψὶν ἕλωρα,
μηδέ τις ἢ ἀλόχῳ ἐγκύμονι χεῖρα βάληται,
μήδ' ὕβριζε γυναῖκα ἐπ' αἰσχυντοῖς λεχέεσι.
μὴ παραβῇς εὐνὰς φύσεως εἰς κύπριν ἄθεσμον.
μηδ' ἐς ἔρωτα γυναικὸς ἅπας ῥεύσῃς ἀκάθεκτον.
οὐ γὰρ ἔρως θεός ἐστι, πάθος δ' ἀΐδηλον ἁπάντων,
μηδὲ κασιγνήτων ἀλόχων ἐπὶ δέμνια βαῖνε.
στέργε τὴν ἄλοχον. τί γὰρ ἥδυτερον καὶ ἄρειον;
ἢ ὅταν ἀνδρὶ γυνὴ φρονέῃ φίλα γήραος ἄχρι,
καὶ πόσις ᾗ ἀλόχῳ, μηδ' ἐμπέσῃ ἄνδιχα νεῖκος;
μηδέ τις ἀμνήστευτα βίῃ κούρῃσι μιγείη.
μηδὲ γυναῖκα κακὴν οἴκοισιν σοῖσιν ἄγεσθαι.
λατρεύεις δ' ἀλόγῳ λυγρῆς χάριν εἵνεκα φέρνης;
ἵππους δ' εὐγενέας δίζεσθαι μὲν κατ' οἶκον, (κριοὺς
ταύρους δ' ὑψιτένοντας, ἀτὰρ σκυλάκων πανα=
γῆμαι δ' οὐκ ἀγαθὴν ἐριδαίνομεν ἀφρανέοντες,
οὐδὲ γυνὴ κακὸν ἄνδρ' ἀπαναίνεται ἀφνεὸν ὄντα.
μὴ δὲ γάμῳ γάμον ἄλλον ἄγῃς ἐπὶ πήμασι πῆμα.
παισὶ δὲ μὴ χαλέπαινε τεοῖς, ἀλλ' ἤπιος ἴσθι.
ἢν δέ τι παῖς ἀλίτῃ, κωλυέτω ἥδε μητὴρ,
ἢ καὶ πρεσβύτατοι γενεῆς, ἢ δημογέροντες. (δος;
μὴ μὲν ἐπ' ἄρσενι παιδὶ τρέφειν χαίτην πλοκαμῖ·
μὴ κορυφὴν πλέξαι, μήθ' ἅμματα λοξὰ κορυμβῶν.
ἄρσεσιν οὐκ ἐπέοικε κόμη, χλιδαὶ δὲ γυναιξί,
παιδὸς δ' εὐμόρφου φρουρεῖν νεοτήσιον ὥρην.
παρθενικὴν δὲ φύλασσε πολυκλείστοις θαλάμοισι,
μηδέ μιν ἄχρι γάμων πρὸ δόμων ὀφθῆναι ἐάσῃς.

κάλλος

Non occidat adhuc nascentem fœmina fœtum,
Vulturibusúe uelit, canibusúe relinquere prædam.
Nemo manum uxori grauidæ ictibus inferat ullis,
Aut uelit hanc turpes sectando lædere lectos.
Parce marem castrare, potest qui gignere prolem.
Fœminei sexus ne totus amore labores.
Haud est numen Amor, sed cœcans impetus omnes.
Ne cum fratris idem consorte cubile frequentes.
Diligere uxorem decet, est nil dulcius illo,
Excipit unanimes ambos si cana senectus,
Incidit & toto lis tempore nulla duorum.
Non desponsatas ne coge coïre puellas,
Infami nec dote uelis tibi ducere nuptam,
Huic seruire modo tu ne cogare pudendo
Quos commedat equos uirtus generosa parari,
Præstantesq́; iuuat tauros, catulosq́; feroces,
Non iuuat insanos sed honestam ducere sponsam.
Nec, qui diues opum, infamem fugit ulla maritum.
Plures ne nuptas pete, uimq́; malo adde malorum.
Ne gere difficilem te, sed mitem argue natis.
In nato uicij genitrix castiget amorem.
Quisúe domus patriæ, populiúe ætate senili.
Vibrari arte suos puero non effice crines,
Crispariúe, obliqua ligent nec uincula nodis
Compta uiris coma dedecori, luxusq́; puellis.
Præstantem pueri formam sit cura tuendi,
Seruandiq́; occlusa tibi intra tecta puellam.
Vix teget huic formam custodia magna parentum,

Ne pa-

κάλλος δυσήρκτον ἔφυ παίδων τοκέεσι.
συγγενέσιν φιλότητα νέμοις, ὁσίην δ' ὁμόνοιαν.
αἰδεῖσθαι πολιοκροτάφους, εἴκειν δὲ γέρουσιν
ἕδρης καὶ γεράων πάντων. γενεῇ δ' ἀτάλαντον
πρέσβυν ὁμήλικα πατρὸς ἴσαις τιμαῖσι γέραιρε,
γαστρὸς ὀφειλόμενον δασμὸν παρέχου θεράπουσι.
δούλῳ τακτὰ νέμοις, ἵνα τοι καταθύμιος εἴη.
Lips. Elect. II, 15, στίγματα μὴ γράψῃς ἐπονειδίζων θεράποντα.
δοῦλον μὴ βλάψῃς τι κατηγορέων πρὸς ἄνακτα,
λάμβανε καὶ βουλὴν παρὰ οἰκέτου εὐφρονέοντος.
piationes aie ἁγνεῖαι ψυχῆς σου, σώματός εἰσι καθαρμοί.
ταῦτα δικαιοσύνης μυστήρια (arcanum), οἷα βιοῦντες
ζωὴν ἐκτελέοιτ' ἀγαθὴν μέχρι γήραος οὐδῷ.

Τοῦ αὐτοῦ.

Καὶ τάδε Φωκυλίδεω. τετόρων ἄπο τῶνδε γένοντο
φῦλα γυναικείων, ἡ μὲν κυνός, ἡ δὲ μελίσσης,
ἡ δὲ συὸς βλοσυρῆς, ἡ δ' ἵππου χαιτηέσσης,
εὔφορος ἥδε ταχεῖα, περίδρομος, εἶδος ἀρίστη.
ἡ δὲ συὸς βλοσυρῆς, οὔτ' ἂρ κακή, οὐδὲ μὲν ἐσθλή.
ἡ δὲ κυνὸς χαλεπή τε καὶ ἄγριος. ἡ δὲ μελίσσης,
οἰκονόμος τ' ἀγαθή, καὶ ἐπίσταται ἐργάζεσθαι,
ἧς εὔχου φίλ' ἑταῖρε λαχεῖν γάμου ἱμερόεντος.

καὶ ταῦτα.

χρῄζων πλούτου, μελέτην ἔχε πίονος ἀγροῦ,
ἀγρὸν γάρ τε λέγουσιν ἀμαλθείης κέρας εἶναι.
καὶ τόδε Φωκυλίδου, τί πλέον γένος εὐγενὲς εἶναι
οἷς οὔτ' ἐν μύθοις ἕπεται χάρις, οὔτ' ἐνὶ βουλῇ.

Ἐκ τῶν

Ne patiare, uiro quàm nupserit, antè uideri.
Egregiam formam res plena labore tueri.
Cognatis foueat concordia sancta fauorem.
Fac uereare uirum, cui tempora crinibus albent,
Huic & cede locum, & dignum undiq; defer honorem.
Clarum stirpe senem cole, quo uel more parentem.
Venter ali quo uult, dimensum prome ministris,
Debita daq; tuis, faciant ut ritè labores.
His nec inure notas, aut adfice crimine famam.
Ne tua apud Dominum lædant opprobria seruos.
Consilium à prudente petas quin utile seruo.
Mens si casta, tibi, à uicijs animum illa repurgat.
Iusticiæ hæc mysteria, qui uiues memor horum,
Limen adire sinent felicem fata senectæ.

Alia eiusdem.

Hæc quoq; Phocylidæ sunt: quadruplici uice differt
Fœmina. Prima canẽ æquat, apem altera morib. harũ.
Deinde suem toruam illa, iubam sed equum illa ferentẽ.
Commodat hæc circumcursans pulcerrima uultum.
Quæq; imitata suem est, hanc pondus inutile dicas.
Quæq; canẽ, hæc onus est graue moribus effera fœdis.
Quæ sed apem, illa domum aßiduo regit apta labori,
Huius amice procus iucundas appete tædas.

Aliud eiusdem,

Curam rebus egens exerce fertilis agri,
Est ager, ut perhibent, ex quo tibi copia rerum.
Hoc quoq; Phocylidæ est: genus effert nobile multos,
Nec uerbis, nec consilio quos gratia tangit.

## ΕΚ ΤΩΝ ΤΥΡΤΑΙΟΥ, ΠΕΡΙ πολεμικῆς ἀρετῆς.

Οὔτ' ἂν μνησαίμην, οὔτ' ἐν λόγῳ ἄνδρα τιθείην,
οὔτε ποδῶν ἀρετῆς, οὔτε παλαισμοσύνης.
οὐδ' εἰ κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
νικῴη δὲ θέων θρηίκιον βορέην.
οὐδ' εἰ τιθωνοῖο φυὴν χαριέστερος εἴη,
πλουτοίη δὲ μίδεω καὶ κινύραο πλέον,
οὐδ' εἰ ταντλίδεω πέλοπος βασιλεύτερος εἴη,
γλῶσσαν δ' ἀδρήστου μειλιχόγηρυν ἔχοι.
οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν, πλὴν θούριδος ἀλκῆς.
οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίνεται ἐν πολέμῳ.
εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα,
καὶ δηίων ὀρέγοιτ' ἐγγύθεν ἱστάμενος.
ἥδ' ἀρετή, τὸ δ' ἄεθλον ἐν ἀνθρώποισιν ἄριστον,
κάλλιστόν τε φέρειν γίνεται ἀνδρὶ νέῳ.
ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληί τε παντί τε δήμῳ,
ὅστις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ.
νωλεμέως, αἰσχρᾶς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος.
θαρσύνῃ δὲ πεσεῖν τὸν πλησίον ἄνδρα παρεστώς,
οὗτος ἀνὴρ ἀγαθὸς γίνεται ἐν πολέμῳ.
αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
τρηχείας, σπουδῇ τ' ἔσχεθε κῦμα μάχης.
αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυ-
ἄστυ τε καὶ λαὸν καὶ πατέρ' εὐκλεΐσας, (μόν,
πολλὰ διὰ στέρνοιο καὶ ἀσπίδος ὀμφαλοέσσης,
καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος,

## TYRTÆI DE VIRTVTE militari.

NEc memor hunc referã, dignũ nec laude putarim,
Vt ualeat cursu, lucta uirumq́; probet.
Vt molem referat uastam, uiresq́; Cyclopum,
Threïcium boream cursor & anteeat.
Augeat ut plus huic Tithano gratia formam,
Vtq́; Mydæ, aut Cyneræ ditior æquet opes.
Tantalidæ Pelopi maiestas æquet ut illum,
Adrastoq́; parem lingua diserta probet.
Deniq́; laude uacet nulla: nisi & edere pugnas
Audeat, hic armis utilis esse nequit.
Sanguineas non sustineat, non cernere cædes,
Nec propè stans hosti conserat ipse manus.
Hæc uirtus, homines cui maxima præmia debent,
Pulcrius hac iuueni re nihil esse potest.
Vir commune bonum est toti cum ciuibus urbi,
Martis opus primo qui gerit acre loco.
Bellandi nil mente fugam suadente labores,
Qui pro laude mori promptus, & arma subit.
Hic socium confirmat, ut & cadat ipse sub armis,
Ille graues pugnas, ille uir aptus adit.
Inq́; fugam celerem hostiles agit ocyus alas,
Sustinet & belli fluctibus acer agi.
Vnde cadens inter primos animæ euomit auras
Hac solet urbs, ciues laude, paterq́; frui.
Sauciat huic pectus clypeum hasta secante rotundum,
Thoracemq́; acie iam penetrante quatit.

τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι, ἠδὲ γέροντες,
ἀργαλέῳ δὲ πόθῳ πᾶσα κέκηδε πόλις.
καὶ τύμβος καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι,
καὶ παίδων παῖδες καὶ γένος ἐξοπίσω.
οὐδέ ποτε κλέος ἐσθλὸν ἀπόλλυται, οὐδ' ὄνομ' αὐτοῦ,
ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίνεται ἀθάνατος.
ὅν τιν' ἀριστεύοντα, μένοντά τε, μαρνάμενόν τε
γῆς πέρι καὶ παίδων θοῦρος ἄρης ὀλέσῃ.
εἰ δὲ φύγοι μὲν κῆρα τανηλεγέος θανάτοιο,
νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλοι,
πάντες μὶν τιμῶσιν ὁμῶς νέοι, ἠδὲ παλαιοί,
πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς ἀΐδην.
γηράσκων δ' ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
βλάπτειν, οὔτ' αἰδοῦς οὔτε δίκης ἐθέλει.
πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι, οἵ τε κατ' αὐτὸν
εἴκουσ' ἐκ χώρης, οἵ τε παλαιότεροι.
ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
πειράσθω, θυμὸν μὴ μεθιεὶς πολέμου.

Τοῦ αὐτοῦ, ἢ Καλλίνου.

Μέχρις τοῦ κατάκεισθε, κότ' ἄλκιμον ἕξετε θυμόν,
ὦ νέοι, οὐδ' αἰδεῖσθ' ἀμφὶ περικτύονας
ὧδε λίην μεθιέντες, ἐν εἰρήνῃ δὲ δοκεῖτε
ἧσθαι, ἀτὰρ πόλεμος γαῖαν ἅπασαν ἔχει.

καί τις ἀποθνήσκων ὕστατ' ἀκοντισάτω.
τιμῆέν τε γάρ ἐστι, καὶ ἀγλαὸν ἀνδρὶ μάχεσθαι
γῆς πέρι, καὶ παίδων, κουριδίης τ' ἀλόχου.

δυσμεν

Hoc dolor acris agit iuuenes pereunte, senesq́;,
Vrbs desiderio totaq́; tacta gemit.
Busto cuius honos manet, & sua fama nepotes,
Natorumq́; genus sera propago trahit.
Nec decus huic clari perit ullo nominis æuo,
Quo, cum terra tegit, nescius ille mori est.
Quem Mars præstantem, atq; ausum huius adire tu-
Pro patriæ orbe neci, progenieq́; dedit. (multus,
Effugit hæc quòd si post acta pericula mortem,
Victorem meriti gloria quanta manet?
Hunc iuuenum magno dignatur honore, senumq́;
Turba, bonisq́; orcum pluribus usus adit.
Hunc senio curant confectum, ac lædere ciues
Nolunt, & tribuunt iusq;, fidemq́; uiro.
Cedunt huic iuuenes uicini, huic cana senectus
Sponte locum, & sedem, cum uenit ille, suam.
Istius ergo decet superare cacumina laudis,
Præsentiq; geri pectore Martis opus.

Alia Tyrtæi, aut Callini.

Quô uirtus uestra usq; iacet, uigor unde redibit
O iuuenes, hostem nil tolerare pudet?
Ebria mens adeo est, ut uos in pace putetis
Nunc positos, bellis cum loca nulla uacent.
Ergo quis aduersum nunc arma capesset in hostem,
Et mittet moriens ultima tela manu?
Laus est pro patrijs armari maxima regnis
Adserat ut natos, coniugijq́; decus.

δυσμενέσιν. θάνατος δέ ποτ' ἔσσεται, ὁππότε κεν δὴ
 μοῖρα δ' ἐπικλώσωσ' ἀλλά τις ἰθὺς ἴτω,
ἔγχος ἀνασχόμενος, καὶ ὑπ' ἀσπίδος ἄλκιμον
 ἔλσας τὸ πρῶτον μιγνυμένου πολέμου. (ἦτορ
οὐ γάρ κως θάνατόν γε φυγεῖν εἱμαρμένον ἐστὶν
 ἄνδρ', οὐδ' εἰ προγόνων ᾖ γένος ἀθανάτων.
πολλάκι δηϊοτῆτα φύγον καὶ δοῦπον ἀκόντων
 ἔρχεται, ἐν δ' οἴκῳ μοῖρα κίχεν θανάτου.
ἀλλ' ὁ μὲν οὐκ ἔμπας δήμῳ φίλος, οὐδὲ ποθεινός,
 τὸν δ' ὀλίγος στενάχει καὶ μέγας ἤν τι πάθῃ.
λαῷ γὰρ ξύμπαντι πόθος κρατερόφρονος ἀνδρὸς
 θνήσκοντος, ζώων δ' ἄξιος ἡμιθέων.
ὥσπερ γάρ μιν πύργον ἐν ὀφθαλμοῖσιν ὁρῶσιν,
 ἔρδει γὰρ πολλῶν ἄξια μοῦνος ἐών.

Τοῦ αὐτοῦ.

Ἀλλ' Ἡρακλῆος γὰρ ἀνίκητον γένος ἐστὲ,
 θαρσεῖτ', οὔπω Ζεὺς αὐχένα λοξὸν ἔχει.
μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε, μηδὲ φοβεῖσθε,
 ἰθὺς δ' ἐς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω.
ἐχθρὰν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας
 αὐγαῖσιν κῆρας ἠελίοιο φίλας.
ἴστε γὰρ ὡς ἄρεως πολυδακρύτου ἔργ' ἀρίδηλα,
 εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου.
καὶ μετὰ φευγόντων τε διωκόντων τ' ἐγένεσθε,
 ὦ νέοι, ἀμφοτέρων δ' εἰς κόρον ἠλάσατε.
οἱ μὲν γὰρ τολμῶσι παρ' ἀλλήλοισι μένοντες,
 ἐς αὐτοσχεδίην καὶ προμάχους ἰέναι.

παυρό

Mors aliàs, non bella geras licet, imminet ultrò,
Cum Parcæ statuunt, quem uoluêre, diem.
Muniti clypeo robustum pectus aheno
Obijciant hastas, cum furor arma mouet.
Lege licet nulli fatorum euadere mortem,
Sit soboles superæ stirpis alumna licet.
Forte minas belli, & stridentia tela per auras
Qui fugit, hunc prensum mors necat atra domi.
Sed nec amore pari urbs, nec desiderio excipit illum,
Laudem ceu populi totius alter habet.
Vrbs desiderio quo tota iacente laborat,
Hunc & semideis annumerare solet.
Ceu turrim ante oculos altam quem penè tuentur,
Nam, multi poterant quæ minus, unus obit.

## Alia Tyrtæi.

Quæ uos esse probent genus Herculeum, edite uires,
Vobis ira Iouis nulla recusat opem.
Agmine stipatas ne formidate cateruas,
Dirigite in primos ærea scuta uiros,
Temnite nunc animas, uitamq; efflare sub auras,
Quas radij illustrant Sole micante, iuuet.
Martis opus dubio ferri lacrymabile casu
Nostis, & hunc pugnas quæ iubet ira sequi:
Sæpe fugam uisi dare, sæpe reducere palmam
Estis, utroq; labor uos saturasse potest.
Ergo manent casus cunctis qui uiribus omnes,
Et, quos primus habet comminus ordo, petunt:

παυρότεροι θνήσκουσι, σάουσι δὲ λαὸν ὀπίσσω.
τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
οὐδ' εἷς δ' ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα,
ὅσα ἂν αἰσχρὰ πάθῃ, γίνεται ἀνδρὶ κακά.
ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν,
ἀνδρὸς φεύγοντος δηΐῳ ἐν πολέμῳ.
αἰσχρὸς δ' ἐστὶ νέκυς κατακείμενος ἐν κονίῃσι
νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλάμενος.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισι,
στηριχθεὶς ἐπὶ γῆς χεῖλος ὀδοῦσι δακών.
μηρούς τε κνήμας τε κάτω καὶ στέρνα καὶ ὤμους
ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος.
δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος,
κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς.
ἔρδων δ' ὄβριμα ἔργα διδασκέσθω πολεμίζειν,
μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων.
ἀλλά τις ἐγγὺς ἰὼν αὐτοσχεδὸν ἔγχει μακρῷ,
ἢ ξίφει οὐτάζων δήϊον ἄνδρ' ἑλέτω. (σας.
καὶ πόδα παρ' ποδὶ θεὶς, καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρεί-
ἐν δὲ λόφον τε λόφῳ, καὶ κυνέην κυνέῃ.
καὶ στέρνον στέρνῳ πεπλημένος ἀνδρὶ μαχέσθω,
ἢ ξίφεος κώπην, ἢ δόρυ μακρὸν ἑλών.
ὑμεῖς δ' ὦ γυμνῆτες ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλος,
πτώσσοντες, μεγάλοις βάλλετε χερμαδίοις,
δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτούς,
τοῖσι πανόπλοισι πλησίον ἱστάμενοι.

τοῦ αὐτοῦ

Horum se plures seruant, patriosq; penates,
Fracta metu uirtus robur inane trahit.
Ac tantam uim nemo potest aperire malorum,
Cum fœdo iungi quanta timore solent.
Triste coacta metu dare terga sequacibus armis,
Et grassante leuem Marte subire fugam.
Prostratum in faciem quàm uisu immane cadauer,
Cuius hiant multo uulnera dorsa, uiri?
Ergo pedem terris quis figat utrumq; manendo,
Mordicus infixo labraq́; dente premat:
Crura, femurq́; tegi, pectusq;, humerosq; ualentes,
Omnem umbone feram uim prohibente, decet.
Dextra manus ualidam uibrando torqueat hastam,
Terribilem cristam concutiatq; caput.
Egregios belli quis discat obire labores,
Nec teneat clypeum qua nihil arma timet.
Ille propinquantem ferri petat acrius ictu
Hostem, seu stricto sauciet ense suum.
Et iam constipate pedem pede, scutaq; scutis,
Ac galeas galeis ritè, iubasq; iubis.
Consertoq́; uirum iam pectore sternat humi uir,
Dum capit aut hastam, seu ferit ense manus.
At leuia est quorum labor hostibus arma minari,
Grandia pugnaci spargite saxa manu.
Spicula tum ualidis torquete polita lacertis,
Stantes, tentat ubi rem cataphracta cohors.

## Τοῦ αὐτοῦ.

Τεθνάμεναι γὰρ καλὸν ἐπὶ προμάχοισι πεσόντα
    ἄνδρ' ἀγαθὸν, περὶ ᾗ πατρίδι μαρνάμενον.
τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
    πτωχεύειν, πάντων ἔστ' ἀνιηρότατον.
πλαζόμενον σὺν μητρὶ φίλῃ καὶ πατρὶ γέροντι,
    παισί τε σὺν μικροῖς, κουριδίῃ τ' ἀλόχῳ.
ἐχθρὸς γὰρ καὶ τοῖσι μετέσσεται, οὕς κεν ἵκηται
    χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ.
αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
    πᾶσα δ' ἀτιμία καὶ κακότης ἕπεται.
εἰ δ' οὕτως ἀνδρός τοι ἀλωμένου, οὐδὲ μί' ὤρη
    γίνεται, οὔτ' αἰδὼς εἰς ὀπίσω τελέθει.
θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα, καὶ περὶ παίδων
    θνήσκωμεν, ψυχέων μηκέτι φειδόμενοι.
ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες,
    μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε, μηδὲ φόβου.
ἀλλὰ μέγαν ποιεῖτε καὶ ἄλκιμον ἐν φρεσὶ θυμόν,
    μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι.
τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρά,
    μὴ καταλείποντες φεύγετε τοὺς γεραιούς.
αἰσχρὸν γὰρ δὴ τοῦτο μετὰ προμάχοισι πεσόντα
    κεῖσθαι πρόσθε νέον ἄνδρα παλαιότερον.
ἤδη λευκὸν ἔχοντα κάρη, πολιόν τε γένειον,
    θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ.
αἱματόεντ' αἰδοῖα, φίλαις ἐν χερσὶν ἔχοντα.
    αἰσχρὰ τάγ' ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν.

καὶ

Alia Eiusdem.

Pulcra mori laus est in pugnantum agmine primo
Illum, pro patrio qui gerit arma solo.
At qui linquit agros patriam cum pinguibus urbem
Mendicans, graue nil huic magis esse potest.
Qui cum matre cibos, canoq; parente per orbem,
Cum natisq; suis, coniugioq; petit.
Hoc uelut hoste pauent, quoscunq; frequentat, amici,
Paupertas odio cuilibet esse facit.
Et genus illa graui, formamq; pudore fatigat,
Nullus honos illam, tristia multa manent.
Hoc miser esse modo qui cœpit, ad omne laborat
Tempus, & huic homines ferre uerentur opem.
Ergo animo patriam forti, natosq; tueri,
Nec fragili uitæ parcere iure decet.
Viribus ô iuuenes iunctis nunc edite pugnas,
Nemo metu turpem tentet inire fugam.
Præsenti uirtus animo nunc concitet iram,
Prælia non uitæ linquere cogat amor.
Neúe uiros, quorum nunc membra senilia languent,
Desertos sociæ turba relinquat opis.
Est uisu quia fœdum, acies quem prima tenebat,
Ante pedes fusum cæde iacere senem.
Cui caput est niueum, canis cui barba renidet,
Lumine quem cassum, & robore puluis habet.
Quiq; cruenta manu attrectante uirilia condit,
Nil oculis illo fœdius esse potest.

καὶ χρόα γυμνωθέντα. νέοισι δὲ πάντ᾽ ἐπέοικεν,
ὄφρ᾽ ἄρα τῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ.
ἀνδράσι μὲν θνητοῖσιν ἰδεῖν, ἐρατὸς δὲ γυναιξὶ
ζωὸς ἐών, καλὸς δ᾽ ἐν προμάχοισι πεσών.
ἀλλά τις εὖ διαβὰς μενέτω ποσὶν ἀμφοτέροισι
στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών.

## ΣΟΛΩΝΟΣ ΕΛΕΓΕΙΩΝ συλλογή.

Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
μοῦσαι πιερίδες κλῦτέ μοι εὐχομένῳ.
ὄλβον μοι πρὸς θεῶν μακάρων δότε, καὶ πρὸς ἁπάν-
ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν. των
εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν,
τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.
χρήματα ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
οὐκ ἐθέλω. πάντως ὕστερον ἦλθε δίκη.
πλοῦτον δ᾽ ὃν μὲν δῶσι θεοὶ παραγίνεται ἀνδρὶ
ἔμπεδος, ἐκ νεάτης πυθμένος εἰς κορυφήν.
ὃν δ᾽ ἄνδρες τιμῶσιν ὑφ᾽ ὕβριος, οὐ κατὰ κόσμον
ἔρχεται, ἀλλ᾽ ἀδίκοις ἔργμασι πειθόμενος,
οὐκ ἐθέλων ἕπεται, ταχέως δ᾽ ἀναμίσγεται ἄτῃ,
ἀρχὴ δ᾽ ἐξ ὀλίγου γίνεται ὥστε πυρός.
φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ,
οὐ γὰρ δὴ θνητοῖς ὕβριος ἔργα πέλει.
ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος, ἐξαπίνης δὲ
ὥς ἄνεμος νεφέλας αἶψα διασκέδασεν.

ἠρινός,

*Corpore si nudo iacet. Acrem ætate iuuentam*
*Omnia, dum ualet hæc flore uigente, decent.*
*Vt spectare uir hanc uirtutem, & fœmina poßint.*
*Ordine uir primo non sine laude cadit.*
*Ergo pedem terris quis figat utrumq; manendo,*
*Mordicus infixo labraq; dente premat.*

## SOLONIS CARMINA
### Elegiaca.

*Mnemosynes, summiq; Deæ Iouis inclyta proles*
*Pierides, cœptis ferte precamur opem.*
*A Dis uestra mihi felicem gratia uitam*
*Impetret, & famam laudis ubiq; precor.*
*Sim grauis osori sine re, iucundus amico,*
*Hic colat, ille mei palleat usq; metu.*
*Opto diuitias mihi sed sine fraude repertas,*
*Tempore sera licet pœna sequente uenit.*
*Quas largitur opes Deus, has corroborat idem,*
*Funditus ad summum quas cumulare solet.*
*At quas impostura parit, non ritè teneri,*
*Siue malæ famæ labe carere solent.*
*Quæ nec sponte uigent, redigiq; in damna laborant,*
*Principium flammæ mox pereuntis habent.*
*Desinit in duros leuis olim noxa dolores,*
*Non impunè diu facta nefanda manent.*
*Iupiter ipse notans finem citò dißipat autor,*
*Ceu nubes Zephyro discutiente solent.*

ἠρινὸς, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
  πυθμένα κινήσας, γῆν κατὰ πυροφόρον
δηώσας καλὰ ἔργα, θεῶν ἕδος αἰπὺν ἱκάνει
  οὐρανὸν, αἰθρίην δ' αὖθις ἔθηκεν ἰδεῖν.
λάμπει δ' ἠελίοιο μένος κατὰ πίονα γαῖαν,
  καλὸν, ἀτὰρ νεφέων οὐδὲν ἔτ' ἐστὶν ἰδεῖν.
τοιαύτη ζηνὸς πέλεται τίσις, οὐδ' ἐφ' ἑκάστῳ
  ὥσπερ θνητὸς ἀνὴρ γίνεται ὀξύχολος.
αἰεὶ δ' οὔτε λέληθε διαμπερὲς, ὅστις ἀλιτρὸν
  θυμὸν ἔχει, πάντως δ' ἐς τέλος ἐξεφάνη.
ἀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον. εἰ δὲ φύγωσιν
  αὐτοὶ, μηδὲ θεῶν μοῖρ' ἐπιοῦσα κίχῃ.
ἤλυθε πάντως αὐτίκ' ἀναίτια τ' ἔργα τίνουσιν
  οἱ παῖδες τούτων ἡγεμόνων ὀπίσω.
θνητοὶ δ' ὧδε νοοῦμεν ὁμῶς ἀγαθός τε κακός τε
  ἐσθλὴν, ἣν αὐτὸς δόξαν ἕκαστος ἔχει.
πρίν τι παθεῖν, τότε δ' αὖθις ὀδύρεται. ἄχρι δὲ τούτου
  χάσκοντες, κούφαις ἐλπίσι τερπόμεθα.
χ' ὅστις μὲν νούσοισιν ὑπ' ἀργαλέῃσι πιεσθῇ,
  ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο.
ἄλλος δειλὸς ἐὼν, ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνὴρ,
  καὶ καλὸς, μορφὴν οὐ χαρίεσσαν ἔχων.
εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
  κτήσασθαι πάντως χρήματα πολλὰ δοκεῖ.
σπεύδει δ' ἄλλοθεν ἄλλος, ὁ μὲν κατὰ πόντον ἀλᾶται
  ἐν νηυσὶν, χρήζων οἴκαδε κέρδος ἄγειν.
ἰχθυόεντ', ἀνέμοισι φορεύμενος ἀργαλέοισι,
  φειδωλὴν ψυχῆς οὐδεμίαν θέμενος.

ἄλλος

Imas uere nouo pelagi cum turbat arenas,
Frugiferamq; graui turbine uerrit humum.
Obuia depopulans opera ad sedem ille Deorum
Nititur, & pulsis nubibus aura nitet.
Et iam Phœbus humum fœtam fulgore serenat,
Obscuræq; nihil nubis ubiq; manet:
Hæc uindicta Iouem iuuat, at non quolibet auso
Iram, sicut homo, motus obire solet.
Non latet usq; tamen, uicijs quasi gaudeat ullis,
Pœna reis noxæ sed manifesta uenit.
Imminet illa cito pede. Quòd si uitat eandem,
Qui reus, & fato damna morante fugit:
Hæc suspensa tamen uenit, insontesq; prehendit
Natos, ferre patrum qui uice damna solent.
Omnibus hæc nobis deludit opinio mentes,
Quòd quæ sentit, & hæc optima quisq; putat.
Quam, dum sors est læta, tenet, mutata dolorem
Quæ mouet, hac uti spe leuiore licet.
Vita dolore graui morborum humana laborat,
Cura quibus medicam sedula quærit opem.
Fortis amat, timidum quem uult natura, uideri,
Pulcer, abest formæ cui tamen omne decus.
At qui pauper agit celebri sine nomine uitam,
Magnarum dominus uult uideatur opum.
Festinant omnes ditescere, naue pererrat
Hic, ut magna domum lucra reportet, aquas.
Perq; freti uentis dare uela minacibus undas
Audet, & his uitam posthabet ille bonis.

ἄλλος γῆν τέμνον πολυδένδρεον, εἰς ἐνιαυτὸν
 λατρεύει, τοῖσιν καμπύλ' ἄροτρα μέλει.
ἄλλος ἀθηναίης τε καὶ ἡφαίστου πολυτέχνεω,
 ἐργαλέοιν χειροῖν ξυλλέγεται βίοτον.
ἄλλος ὀλυμπιάδων μουσῶν πάρα δῶρα διδαχθεὶς
 ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος.
ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος ἀπόλλων,
 ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον.
ᾧ συνομαρτήσωσι θεοί. τὰ δὲ μόρσιμα πάντως
 οὔτε τις οἰωνὸς ῥύσεται, οὔθ' ἱερά.
ἄλλοι παιᾶνος πολυφαρμάκου ἔργα ἔχοντες
 ἰητροί, καὶ τοῖς οὐδὲν ἔπεστι τέλος.
πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίνεται ἄλγος,
 κοὔ τις λύσαιτ' ἂν ἤπια φάρμακα δούς.
τὸν δὲ κακοῖς νούσοισι κυκώμενον, ἀργαλέαις τε
 ἁψάμενος χειροῖν αἶψα τίθησ' ὑγιῆ.
μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει, ἠδὲ καὶ ἐσθλόν,
 δῶρα δ' ἄφυκτα θεῶν γίνεται ἀθανάτων.
πᾶσι δέ τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδεν
 ᾗ χήσειν μέλλει χρήματος ἀρχομένου.
ἀλλ' ὁ μὲν εὖ ἔρδειν πειρώμενος, οὐ προνοήσας,
 εἰς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσε.
τῷ δὲ κακῶς ποιεῦντι θεὸς περὶ πάντα δίδωσι
 συντυχίην ἀγαθήν, ἔκλυσιν ἀφροσύνης.
πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνδράσι κεῖται,
 οἳ γὰρ νῦν ἡμῶν πλεῖστον ἔχουσι βίον,
διπλασίως σπεύδουσι, τίς ἂν κορέσειεν ἅπαντας;
 κέρδεά τοι θνητοῖς ὤπασαν ἀθάνατοι.

Hic arat arboreo decoratam germine terram,
Qui seruam agricolis ferre laborat opem.
Ille Mineruæ colit, Vulcane tuam ille sed artem,
Atq; manu callum quærit habente cibos.
Musarum ille uolens pulcerrima dona doceri,
Vt sapiendi olim dulce sequatur opus.
Augurijs illum uarijs instruxit Apollo,
Vt mala uenturi temporis ille sciat.
Illa iuuante Deo facit. At non fata morari
Vllius omen auis, uictima nulla potest.
Sunt qui autore tenent artem Pœone medendi,
Ars quorum optato fine subinde caret.
Parua mouet magnos quia quondam causa dolores,
Quos medicina satis nulla leuare potest.
Sæpe graues etiam morbi cui membra fatigant,
Hunc medici sanum dextra repente facit.
Nos grauat aduersis fortuna, iuuatq; secundis,
Vtraq; dona Deûm nemo cauere potest.
Rem quamcunq; geras, discrimine nulla uacabit,
Nemo, quam finem poßit habere, uidet.
Qui dignam rem laude sequi parat, errat agendo,
Et damno patitur triste sequente malum.
At qui ritè nihil facit, huic fortuna laborem,
Omneq; dante Deo tale secundat opus.
Non est diuitijs modus, harum dira cupido
Fine caret, quibus est copia grandis opum,
Bis tantas quærunt, poterit saturare quis omnes?
Lucra Deo nôris larga uolente dari.

Lucra

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-120808-p0147-2

ἄτη δ' ἐξ αὐτῶν ἀναφαίνεται, ἣν ὁπόταν Ζεὺς
πέμψῃ τισομένην, ἄλλοτε ἄλλος ἔχει.

Τοῦ αὐτοῦ.

οὐδὲ μάκαρ οὐδεὶς πέλεται βροτὸς, ἀλλὰ πονηροὶ
πάντες ὅσους θνητοὺς ἠέλιος καθορᾷ.

Τοῦ αὐτοῦ.

μηδέ μοι ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισι
καλλείποιμι θανὼν ἄλγεα καὶ στοναχάς.

Τοῦ αὐτοῦ.

ἐκ νεφέλης πέλεται χιόνος μένος, ἠδὲ χαλάζης,
βροντὴ δ' ἐκ λαμπρᾶς γίνεται ἀστεροπῆς,
ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται. ἢν δέ τις αὐτὴν
μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη.
ἀνδρῶν δ' ἐκ μεγάλων πόλις ὄλλυται. εἰς δὲ μονάρχου
δῆμος ἀϊδρείῃ δουλοσύνην ἔπεσε.
δήμῳ μὲν ἔδωκα τόσον κράτος, ὅσον ἐπαρκεῖ,
τιμῆς οὔτ' ἀφελὼν, οὔτ' ἐπορεξάμενος.
οἳ δ' εἶχον δύναμιν, καὶ χρήμασιν ἦσαν ἀγητοί,
καὶ τοῖς ἐφρασάμην μηδὲν ἀεικὲς ἔχειν.
ἔστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισι,
νικᾶν δ' οὐκ εἴασ' ἀμφοτέρους ἀδίκως.

Τοῦ αὐτοῦ.

Ἀλλὰ σὺ μὲν Σολίοισι πολὺν χρόνον ἐνθάδ' ἀνάσσων,
τήνδε πόλιν ναίοις καὶ γένος ὑμέτερον.
αὐτὰρ ἐμὲ ξὺν νηῒ θοῇ κλεινῆς ἀπὸ νήσου,
ἀσκηθῆ πέμποι Κύπρις ἰοστέφανος,
οἰκισμῷ δ' ἐπὶ τῷδε χάριν καὶ κῦδος ὀπάζοι
ἐσθλὸν, καὶ νόστον πατρίδ' ἐς ἡμετέρην.

Lucra mouent Nemesin tamen, illa sed à Ioue summo
 Nunc hos, nunc alios plectere missa uenit.

Alia Eiusdem.

Vita beata sat est nulli, labor occupat omnes,
 Sol hominum æthereo quotquot ab axe uidet.

Eiusdem.

Indefleta rogo mors ne me tradat, amicis
 Sed grauis incumbat me moriente dolor.

Eiusdem.

Nix è nube trahit uires, lapidosaq́; grando,
 Et fragor è sparso fulgure dirus abit.
Et mare conturbant uenti, quod nî qua moueri
 Vis facit, huius aquas occupat alta quies.
A magnis urbs sæpe uiris euertitur, uno
 Exitium ciues cum dominante premit.
Quanta decet, populis duce me tribuenda potestas,
 Non adimi huic nimium, aut crescere debet honos.
Qui pollent opibus, quibus est & magna potestas,
 Hos ratione coli conueniente uelim.
Obieci ipse caput procerum, uulgiq́; furori
 Sæpe meum, at domui uictor utrosq́; nihil.

Alia eiusdem.

Qui Solios regum iamdudum more gubernas,
 Fausta diu hanc urbem sors habitare sinat.
At me, quam teneo, nunc insula naue remittat,
 Cultorem ipsa suum ducat & inde Venus.
Hac quæ sede mihi fautrix aspiret honores,
 Et reducem ad patrias me sinat ire plagas.

Τοῦ αὐτοῦ.

Εἰ δὲ πεπόνθατε λυγρὰ δι' ὑμμετέρην κακότητα,
μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε.
αὐτοὶ γὰρ τούτους ηὐξήσατ' ἐρύματα δόντες,
καὶ διὰ ταῦτα κακὴν ἔχετε δουλοσύνην.
ὑμμῶν δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνια βαίνει,
σύμπασιν δ' ὑμῖν χαῦνος ἔνεστι νόος.
εἰς γὰρ γλῶσσαν ὁρᾶτε, καὶ εἰς ἔπος αἰόλον ἀνδρός,
εἰς ἔργον δ' οὐδὲν γινόμενον βλέπετε.

Τοῦ αὐτοῦ.

Δείξει δὴ μανίην μὲν ἐμὴν βαιὸς χρόνος ἀστοῖς,
δείξει ἀληθείης ἐς μέσον ἐρχομένης.

Τοῦ αὐτοῦ.

Ἡμετέρη δὲ πόλις κατὰ μὲν Διὸς οὔποτ' ὀλεῖται
αἶσαν, καὶ μακάρων θεῶν φρένας ἀθανάτων,
τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει.
αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν.
ἀστοὶ βούλονται χρήμασι πειθόμενοι.
δήμου δ' ἡγεμόνων ἄδικος νόος, οἷσιν ἑτοῖμον
ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν.
οὐ γὰρ ἐπίστανται κατέχειν κόρον, οὐδὲ παρούσας
εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ.

πλουτοῦσι δ' ἀδίκοις ἔργμασι πειθόμενοι.

οὔθ' ἱερῶν κτεάνων, οὔτε τι δημοσίων.
φειδόμενοι κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος,
οὐδὲ φυλάσσονται σεμνὰ δίκης θέμεθλα.

ἣ σιγῶσα

Eiuſdem.

Pœna mouet uobis meritos cum iuſta dolores,
Arguat autores ne qua querela Deos.
Quos irritatos poſſunt ſua iura tueri,
Veſtra malum uobis flebile culpa mouet.
Quilibet aſtutæ ueſtigia uulpis eundo
Denotat, in uicium menſq; proterua ruit.
Fucatos linguæ mirari ſæpe colores,
Non cenſere iuuat, quale quis edat opus.

Eiuſdem.

Ipſa breui inſanire dies me ciuibus æuo
Arguet, & ueri conſcia teſtis erit.

Eiuſdem.

Vis hanc nulla recens nutu Iouis eruet urbem,
Aut quicunq; colunt cœlica regna, Deûm,
Nam præſtans animis tutatrix adſerit illam,
Et ſuper hac palmam Pallas utramq; tenet:
Funditus euertunt ipſi ſed mœnia ciues,
Dum, quæ ſuadet amor, facta ſequuntur, opum.
Qui populo dant iura, rapit mens praua proteruè,
Efficit & promptos probra nefanda pati.
Nam ſeruare modum non hi didicêre, decentem
Læticiam ſtudio nec moderante tenent.
Quos diteſcendi iniuſtè urget auara Cupido,
Prædo ſacrilegas publicus auget opes.
Exercent auidas furto tentante rapinas,
Iuſticiæ leges nec reuerenter habent.

ἣ σιγῶσα σύνοιδε τὰ γινόμενα πρό τ' ἐόντα,
τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτισαμένη.
ταῦτ' ἤδη πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον,
εἰς δὲ κακὴν ταχέως ἤλυθε δουλοσύνην.
ἣ στάσιν ἔμφυλον, πόλεμον θ' εὕδοντ' ἐπεγείρει,
ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην.
ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ
τρύχεται ἐν συνόδοις τοῖς ἀδικοῦσι φίλους.
ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά, τῶν δὲ πενιχρῶν
ἱκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπὴν.
πραθέντες, δεσμοῖσί τ' ἀεικελίῃσι δεθέντες.

οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ
αὔλειοι δέ τ' ἔχειν οὐκ ἐθέλουσι θύραι.
ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν, εὗρε δὲ πάντως
εἰς γῆς τις φεύγων ἐν μυχῷ ἢ θαλάμῳ.
ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
ὡς κακὰ πλεῖστα πόλει δυσνομία παρέχει.
εὐνομία δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει,
καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας.
τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,
αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα.
εὐθύνει δὲ δίκας σκολιάς, ὑπερήφανά τ' ἔργα
πραΰνει, παύει δ' ἔργα διχοστασίης.
παύει δ' ἀργαλέης ἔριδος χόλον, ἔστι δ' ὑπ' αὐτῆς
πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά.

Clàm notat hæc Nemesis quàm turpi crimine fiant,
Et tandem ista suas armat in hoste manus.
Hæc uelut ulcus habent urbem incurabile totam
Nunc mala, seruitium triste sat unde subit.
Seditioq; furens uisum dormire Gradiuum
Antè, frequens cadat ut cœsa iuuenta, ciet.
Vrbs quia cara trahit tristem hoste domante ruinam,
Perfidiæ sociam dedita perdit opem.
Hæc uersare solent stolidos quia crimina ciues,
Turba frequens uulgi pauperis exul abit.
Pars quorum externis captiua tenetur in oris,
Mancipij ærumnas pars dolet empta loco.
Sic cuiusq; domum mala quondam publica tangunt,
Quæ iubet impatiens aula redire foras.
Transiliunt altos sed muros, accipit horum
Secessus fugiens ui, thalamosq; peti.
Illa docere iuuat me dicta monentis Athenas,
Vt mala quanta ferat non bonus ordo, sciant.
At bonus optato quàm commodet omnibus usu,
Ille graui prauos compede sæpe domat.
Leuigat aspera, & iniustè uim frenat agendi,
Et nascente mali semina flore uetat.
Prauas hic leges, hic ausa proterua cohercet,
Sedat & infestæ seditionis opus.
Atq; graues rixas domat, hoc moderante labores,
Omnia mortales conuenienter agunt.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-120808-p0153-5

## ΣΙΜΩΝΙΔΟΥ

Οὐδὲν ἐν ἀνθρώποισι μένει χρῆμ' ἔμπεδον αἰεί,
ἓν δὲ τὸ κάλλιστον Χῖος ἔειπεν ἀνήρ·
οἵη περ φύλλων γενεή, τοίη δὲ καὶ ἀνδρῶν,
παῦροι μιν θνητῶν οὔασι δεξάμενοι
στέρνοις ἐγκατέθεντο. πάρεστι γὰρ ἐλπὶς ἑκάστῳ
ἀνδρῶν, ἥ τε νέων στήθεσιν ἐμφύεται.
θνητῶν δ' ὄφρα τις ἄνθος ἔχει πολυήρατον ἥβης,
κοῦφον ἔχων θυμὸν πόλλ' ἀτέλεστα νοεῖ.
οὔτε γὰρ ἐλπίδ' ἔχει γηρασέμεν, οὐδὲ θανεῖσθαι,
οὐδ' ὑγιὴς ὅταν ᾖ φροντίδ' ἔχει καμάτου.
νήπιοι, οἷς ταύτῃ κεῖται νόος. οὐδ' ἔτ' ἴσασιν
ὡς χρόνος ἔσθ' ἥβης καὶ βιότου ὀλίγος
θνητοῖς. ἀλλὰ σὺ ταῦτα μαθὼν βιότου ποτὶ τέρμα
ψυχῇ τῶν ἀγαθῶν τλῆθι χαριζόμενος.

## ΕΥΗΝΟΥ ΠΑΡΙΟΥ.

Πολλοῖς ἀντιλέγειν μὲν ἔθος περὶ παντὸς ὁμοίως,
ὀρθῶς δ' ἀντιλέγειν οὐκέτι τοῦτ' ἐν ἔθει.
καὶ πρὸς μὲν τούτους ἀρκεῖ λόγος ὡς ὁ παλαιός·
σοὶ μὲν ταῦτα δοκοῦντ' ἔστιν, ἐμοὶ δὲ τάδε.

## ΚΑΛΛΙΜΑΧΟΥ.

Καὶ γὰρ ἐγὼ τὰ μὲν ὅσα καρήατι τῆμος ἔδωκα,
ξανθὰ σὺν εὐόδμοις ἀκρολιπῆ στεφάνοις.
ἄπνοα πάντ' ἐγένοντο παραχρῆμ', ὅσα δ' ἀκουὰς
εἰσεθέμην ἔτι μοι μοῦνα πάρεστι τάδε.

ΤΕΛΟΣ.

## CARMINA SIMONIDÆ.

Nil ſine fine manet firmum mortalibus ægris,
Qua de re Vates quàm bene Chius ait?
Quale genus leuium foliorum eſt, tale uirorum,
Hæc qui uerba recens auribus hauſta tenent,
Inſigunt animis raró, ſua cuiq; Cupido,
Innatam puero quam ſibi nouit, adeſt.
Quisquis agit læto præſtantem flore iuuentam,
Vana leui feruens pectore multa facit.
Nam nec poſſe ſenem fieriúe, moriúe ueretur,
Æger ob exigui ſitq; laboris opus.
Stulti ſunt, quibus hæc exercet opinio mentem,
Non iuuenile breui tempus abire uident.
Hæc præcepta ſequi ſub finem nitere uitæ,
Gratificans animæ nec niſi uiue tuæ.

## EVENI PARII.

Multi, qui gaudent contraria more loquendi,
At non moris item talia uera loqui.
Hos notat antiquo tibi ſermo profectus ab æuo:
Quæ tibi, non nobis illa perinde placent.

## CALLIMACHI.

Quæ tribui flauis olim ornamenta capellis,
Forſan odoratis ſerta ſuperba roſis:
Illorum omnis abiuit odor, quas aure notaui,
Rerum mente mihi ſemper imago ſedet.

FINIS.

τῷ θεῷ δόξα.

# ΟΜΗΡΟΥ ΒΑ-ΤΡΑΧΟΜΥΟ-ΜΑΧΙΑ.

Ἀρχόμενος πρῶτον μουσῶν χορὸν ἐξ ἑλικῶνος
ἐλθεῖν εἰς ἐμὸν ἦτορ ἐπεύχομαι εἵνεκ' ἀοιδῆς.
ἣν νέον ἐν δέλτοισιν ἐμοῖς ἐπὶ γούνασι θῆκα.
δῆριν ἀπειρεσίην πολεμόκλονον ἔργον ἄρηος.
εὐχόμενος μερόπεσσιν ἐς οὔατα πᾶσι βαλέσθαι
πῶς μύες ἐν βατράχοισιν ἀριστεύσαντες ἔβησαν,
γηγενέων ἀνδρῶν μιμούμενοι ἔργα γιγάντων,
ὡς λόγος ἐν θνητοῖσιν ἔην, τοίην δ' ἔχεν ἀρχήν.
Μῦς ποτὲ διψαλέος, γαλέης κίνδυνον ἀλύξας.
πλησίον ἐν λίμνῃ ἁπαλὸν προσέθηκε γένειον.
ὕδατι τερπόμενος μελιηδεῖ, τόνδε κατεῖδε
λιμνόχαρις πολύφημος, ἔπος δ' ἐφθέγξατο τοῖον.
ξεῖνε, τίς εἶ; πόθεν ἦλθες ἐπ' ἠόνα; τίς δέ σ' ὁ φύσας:
πάντα δ' ἀλήθευσον, μὴ ψευδόμενον σε νοήσω,
εἰ γάρ σε γνοίην φίλον ἄξιον, ἐς δόμον ἄξω.
δῶρα δέ τοι δώσω ξεινήια πολλὰ, καὶ ἐσθλά.
εἰμὶ δ' ἐγὼ βασιλεὺς φυσίγναθος, ὃς κατὰ λίμνην
τιμῶμαι, βατράχων ἡγούμενος ἤματα πάντα.
καί με πατὴρ πηλεὺς ποτε γείνατο ὑδρομεδούσῃ
μιχθεὶς ἐν φιλότητι παρ' ὄχθας ἠριδανοῖο.
καὶ σε δ' ὁρῶ καλόν τε, καὶ ἄλκιμον, ἔξοχον ἄλλων.
σκηπτοῦχον βασιλῆα, καὶ ἐν πολέμοισι μαχητὴν
ἔμμεναι,

# HOMERI PVGNA RANARVM, ET MVRIVM.

INcipiens canere Aönidum ex Helicone Dearum
Carminis auſpicio precor in mea pectora migrent
Numina, ut, antè breui in genibus quæ uerba notaui,
Et graue Martis opus, nec paruam exponere litem,
Ac cupidas hominum poßim uulgare ſub aures.
Mouerit in Ranas Mus uictor ut arma paluſtres,
Terrigenûm æquandi ceu facta furore Gigantum.
Sermo uiris erat, hoc cui principium extitit olim:
Mus urgente ſiti, ut uim tendiculæ arceat omnem,
Stagna petens teneram rigat hauſto flumine barbam,
Sorbentemq́; iuuant miſti ceu melle liquores.
Limnocharis claro quem uiſum affatur ad undas
Nomine: Tu quis, & unde, ſatum quo ſanguine iactas?
Omnia uera refer, nil ut te fingere diſcam,
Si dignum agnôrim, ſub amœna palatia ducam,
Et cùm grata tibi, tum dona frequentia promam.
Rex ego clarus auis Phyſignathos, aula paluſtris
Me colit, imperij Ranas ego lege guberno.
Meq́; potens Peleus, ac Hydromeduſa parentes
Ad uiridem Eridani fluuium genuêre, ſed ipſum
Te quoq́; ſigna probant pulcrum, fortemq́; tuenti
Ante alios, Regemq́; aſſuetum fortibus armis.

ἔμμεναι, ἀλλ' ἄγε θᾶσσον ἑὴν γενεὴν ἀγόρευε.
τὸν δ' αὖ Ψιχάρπαξ ἠμείβετο, φώνησέν τε.
τίπτε γένος τοὐμὸν ζητεῖς φίλε δῆλον ἅπασιν,
ἀνθρώποις τε, θεοῖς τε, καὶ οὐρανίοις πετεηνοῖς.
Ψιχάρπαξ μὲν ἐγὼ κικλήσκομαι, εἰμὶ δὲ κοῦρος
Τρωξάρταο πατρὸς μεγαλήτορος, ἡ δέ νυ μήτηρ
Λειχομύλη θυγάτηρ Πτερνοτρώκτου βασιλῆος.
γείνατο δ' ἐν καλύβῃ με καὶ ἐξεθρέψατο βρωτοῖς,
σύκοις καὶ καρύοις καὶ ἐδέσμασι παντοδαποῖσι,
πῶς δὲ φίλον ποιῇ με, τὸν εἰς φύσιν οὐδὲν ὁμοῖον.
σοὶ μὲν γὰρ βίος ἐστὶν ἐν ὕδασιν, αὐτὰρ ἔμοιγε,
ὅσσα παρ' ἀνθρώποις τρώγειν ἔθος, οὐδέ με λήθει
ἄρτος τρισκοπάνιστος ἀπ' εὐκύκλου κανέοιο.
οὐδὲ πλακοῦς τανύπεπλος ἔχων πολλὴν σισαμῖδα.
οὐ τόμος ἐκ πτέρνης. οὐχ ἥπατα λευκοχίτωνα.
οὐδὲ τυρὸς νεόπηκτος ἀπὸ γλυκεροῖο γάλακτος,
οὐ χρηστὸν μελίτωμα, τὸ καὶ μάκαρες ποθέουσιν.
οὐδ' ὅσα πρὸς θοίνην μερόπων τεύχουσι μάγειροι,
κοσμοῦντες χύτρας ἀρτύμασι παντοδαποῖσιν.
οὐδέ ποτ' ἐκ πολέμοιο κακὴν ἀπέφυγον ἀϋτὴν,
ἀλλ' εὐθὺς μετὰ μῶλον ἰὼν, προμάχοισιν ἐμίχθην.
οὐ δέδι' ἄνθρωπον καίπερ μέγα σῶμα φοροῦντα.
ἀλλ' ἐπὶ λέκτρον ἰὼν, ἄκρον δάκτυλον καταδάκνω,
καὶ πτέρνης λαβόμην, καὶ οὐ πόνος ἵκανεν ἄνδρα.
νήδυμος οὐκ ἀπέφυγεν ὕπνος, δάκνοντος ἐμεῖο.
ἀλλὰ δύω μάλα πάντα τὰ δείδια, πᾶσαν ἐπ' αἶαν:
κίρκον, καὶ γαλέην οἵ μοι μέγα πένθος ἄγουσι,
καὶ παγίδα στονόεσσαν, ὅπου δολόεις πέλε πότμος.

πλεῖστον

Ergo age uoce tuam nobis edissere stirpem.
Mus huic Psicharpax sua dat responsa roganti:
Laude domum ignotam nulli quid amice requiris
Aut hominumúe, Deûmúe, auiumúe natare per auras
Natarum? ipse uocor Psicharpax, regia proles
Magnanimi sum Troxartæ, is me matre creauit
Lichomyle, quæ Pternotroctæ filia Regis.
Lignea cista locum dabat, hîc me mater alebat.
Ficus erant mihi, nuxq́; cibi, quos copia fudit.
Sed natura modo tibi me quo iunget amicum?
Moris aquas habitare tibi est, mihi carpere gaudent
Qualia mortales, bona, pasci pane uolenti
Promens ter pistam non denegat arca farinam,
Non etiam extensam mihi de sisamide placentam.
Nec deest perna mihi, tunicis redimita nec albis
Hepata, pressus item niueo de lacte recenti
Caseus & grati uel Dijs ex melle liquores,
Quin quascunq́; dapes hominum ad conuiuia nôrunt
Arte parare coci, & uariè condire saporem.
Terga fugæ non do belli grassante tumultu,
Ancipitem in primo quin exequor agmine pugnam,
Nec fugio ipse uirum, qui uastos exhibet artus,
Sed lectum clàm nocte peto, & pede mordicus adsum
Arrepto, nec habere uirum labor inde uidetur,
Nec iucunda quies hunc me rodente relinquit.
At duo me miserum sine fine pericula terrent,
Accipiter, felisq́;, mouent magnum ambo timorem.
Decipulæ insidias etiam, mors unde, pauesco.

πλεῖστον δὴ γαλέην περιδείδια, ἥτις ἀρίστη,
ἣ, καὶ τρωγλοδύνοντα κατὰ τρώγλην ἐρεείνει.
οὐ τρώγω ῥαφάνας, οὐ κράμβας, οὐ κολοκύντας.
οὐ τεύτλοις χλωροῖς ἐπιβόσκομαι, οὐδὲ σελίνοις,
ταῦτα γὰρ ὑμῶν ἐστὶν ἐδέσματα τῶν κατὰ λίμνην.
πρὸς τάδε μειδήσας φυσίγναθος ἀντίον ηὔδα.
ξεῖνε, λίαν αὐχεῖς ἐπὶ γαστέρι, ἔστι καὶ ἡμῖν
πολλὰ μάλ' ἐν λίμνῃ, καὶ ἐπὶ χθονὶ θαύματ' ἰδέσθαι,
ἀμφίβιον γὰρ ἔδωκε νομὴν βατράχοισι κρονίων
σκιρτῆσαι κατὰ γῆν καὶ ἐφ' ὕδασι σῶμα καλύψαι.
εἰ δ' ἐθέλεις καὶ ταῦτα δαήμεναι, εὐχερές ἐστιν.
αἴρω σ' ἐν νώτοισι, κράτει δέ με μή ποτ' ὄληαι,
ὅπως γηθόσυνος τὸν ἐμὸν δόμον εἰσαφίκηαι,
ὣς ἄρ' ἔφη, καὶ νῶτ' ἐδίδου, ὃς ἔβαινε τάχιστα,
χεῖρας ἔχων ἁπαλοῖο κατ' αὐχένος ἅλματι κούφῳ,
καὶ πρῶτον μὲν ἔχαιρεν, ὅτ' ἔβλεπε γείτονας ὅρμους
νήξει τερπόμενος φυσιγνάθου, ἀλλ' ὅτε δὴ ῥα
κύμασι πορφυρέοις ἐπεκλύζετο πολλὰ δακρύων,
ἄχρηστον μετάνοιαν ἐμέμφετο, τίλλε δὲ χαίτας,
καὶ πόδας ἔσφιγγεν κατὰ γαστέρος, ἐν δέ οἱ ἦτορ
πάλλετ' ἀηθείῃ, καὶ ἐπὶ χθόνα βούλετ' ἱκέσθαι,
δεινὰ δ' ἐπεστονάχιζε, φόβου κρυόεντος ἀνάγκῃ.
οὐρὴν μὲν πρῶτ' ἔπλασ' ἐφ' ὕδασιν ἠΰτε κώπην
σύρων, εὐχόμενός τε θεοῖς ἐπὶ γαῖαν ἱκέσθαι.
ὕδασι πορφυρέοισιν ἐκλύζετο, πολλὰ δ' ἐβόα.
καὶ τοῖον φάτο μῦθον, ἀπὸ στόματος δ' ἀγόρευεν:
οὐχ οὕτω νώτοισιν ἐβάστασε φόρτον ἔρωτος
ταῦρος, ὅτ' εὐρώπην διὰ κύματος ἦγ' ἐπὶ κρήτην.

Sed diram timeo plus, quàm mala cætera, felem,
Nos etiam irreptans quæ sæpe foramina captat.
Braßica, seu raphani me, siue cucurbita Murem
Nulla iuuat, uirides betæúe, apijúe sapores.
Dona cibum uobis dant hæc habitantibus undas.
Orsus ad hæc ibi subridens Physignathos inquit,
Ventris amice bona ostentas, & qualia uasti
Suppeditant miranda mihi campi, atq; paludes.
Terra cibum nutu Iouis exhibet, undaq́; Ranis,
Et saltare licet per humum, abdere corpus & undis.
Si lustrare iuuat, facilis labor illa uidendi.
Te mea terga uehent, tu, ne excutiare, cauebis.
Vt lætum excipiat te regia nostra sub undis.
Finijt has uoces: mox terga leui ardua saltu
Occupat, & teneram ceruice prehendit ituræ
Mus utraq́; manu, uicino gaudia portu
Primum exercebant quem delectante natatu.
At iam cœruleis lacrimans quia mergitur undis,
Stulticiam serò mutans ab fronte capillos
Diripit, & stringens pede uentrem hærere laborat
Nequicquam, & terram uult corde pauente tueri,
Datq́; graues gemitus urgente timore pericli.
Visus eunte suo ceu remum ducere caudam
Est uectore, Deos orans contingere terram
Frustra, cœruleas magno clamore sub undas
Mersus, in autorem necis hæc sua uerba profatur:
In tergo per aquas onus haud ita geßit amoris
Taurus, ubi Europen Cretæ tramisit in oras.

ὣς ἔμ᾽ ἐπιπλώσας ἐπινώτιον ἤγεν, ἐς οἶκον.
βάτραχος ὑψώσας ὠχρὸν δέμας ὕδατι λευκῷ.
ὕδρος δ᾽ ἐξαπίνης ἀνεφαίνετο δεινὸν ὅραμα.
ἀμφοτέροις, ὀρθὸν δ᾽ ὑπὲρ ὕδατος εἶχε τράχηλον
τοῦτον ἰδὼν κατέδυ φυσίγναθος οὔτι νοήσας,
οἷον ἑταῖρον ἔμελλεν ἀπολλύμεναι κατὰ λίμνην.
δῦ δὲ βάθος λίμνης, καὶ ἀλεύατο κῆρα μέλαιναν.
κεῖνος δ᾽ ὡς ἀφέθη, πέσεν ὕπτιος εὐθὺς ἐς ὕδωρ,
χεῖρας δ᾽ ἔσφιγγεν, καὶ ἀπολλύμενος κατέτριζε.
πολλάκι μὲν κατέδυνεν ἐφ᾽ ὕδατι, πολλάκι δ᾽ αὖτε
λακτίζων ἀνέδυνε, μόρον δ᾽ οὐκ ἦν ὑπαλύξαι,
δευόμεναι δ᾽ αἱ τρίχες, πλεῖστον βάρος εἷλκον ἐπ᾽ αὐτῷ.
ὕδασι δ᾽ ὀλλύμενος, τοίους ἐφθέγξατο μύθους.
οὐ λήσεις γε θεοὺς φυσίγναθε ταῦτα ποιήσας.
ναυηγὸν ῥίψας ἀπὸ σώματος, ὡς ἀπὸ πέτρης.
οὐκ ἄν μου κατὰ γαῖαν ἀμείνων ἦσθα κάκιστε
παγκρατίῳ τε, πάλῃ τε, καὶ εἰς δρόμον, ἀλλὰ πλανήσας
εἰς ὕδωρ μ᾽ ἔρριψας, ἔχει θεὸς ἔκδικον ὄμμα.
ποινὴν σὺ τίσεις μυῶν στρατῷ, οὐδ᾽ ὑπαλύξεις.

ταῦτ᾽ εἰπὼν, ἀπέπνευσεν ἐν ὕδασι, τόνδε κατεῖδε
λειχοπίναξ ὄχθῃσιν ἐφεζόμενος μαλακῇσι.
δεινὸν δ᾽ ἐξολόλυξε, δραμὼν δ᾽ ἤγγειλε μύεσσιν.
ὡς δ᾽ ἔμαθον τὴν μοῖραν, ἔδυ χόλος αἰνὸς ἅπαντας.
καὶ τότε κηρύκεσσιν ἑοῖς ἐκέλευσαν ὑπ᾽ ὄρθρον,
κηρύσσειν ἀγορὴν δ᾽ ἐς δώματα τρωξάρταο,
πατρὸς δυστήνου ψιχάρπαγος, ὃς κατὰ λίμνην
ὕπτιος ἐξήπλωτο νεκρὸν δέμας, οὐδὲ παρ᾽ ὄχθαις
ἦν ἤδη τλήμων, μέσσῳ δ᾽ ἐπενήχετο πόντῳ.

Me uelut hærentem ſub tecta paluſtria uectas.
Ergo leuans altè pallentem è flumine Murem
Rana notat uiſu monſtrum huc immane Draconem
Tendere, & erectam ceruicem extare per undas,
Quo uiſo perculſa redit citò Rana ſub amnem,
Haud reputans qualem dare leto poßit amicum.
Stagna nigram fugiens mortem alta ſubiuit aquarum.
At miſer excutitur tergo reſupinus in undas
Mus, ſtringensq́; manus gemitu iam ſtridet inani.
Nunc imas ſubit, ad ſummas nunc nititur undas,
Calcitrat, at mortem uitandi nulla facultas.
Grande madore comas onus, ægros haurit & artus.
Immoriturus aquis hanc edidit ergo querelam:
Non hæc auſa Deos Phyſignathe dira latebunt,
Excutis è dorſo me ceu de rupe ſub undas,
In terra prior ipſe meis non uiribus eſſes,
Pancration, luctámue licet, curſumúe moueres,
Quòd me linquis aquis, uidit en Deus omnia uindex.
Muribus effugies haud pœnam ultoribus æquam.
Hæc ubi fatus erat, uitam expirauit in undas.
Lichopinax, quem mollis habet tum ripa ſedentem,
Rem notat exuiulans horrendum, & muribus index
Cædis abit, ſors illa grauem quibus excitat iram.
Vnde ſuos mittunt præcones, uoce moneri
Quippe iubent quorum, Troxartæ manè frequentet
Gens Murina patrem Pſicharpagis amne peremti,
Nare ſupinus aquis qui poßit inane cadauer,
Nec iuxta ripas, medijs ſed in æquoris undis.

Ergo

ὡς δ' ἦλθον σπεύδοντες ἅμ' ἠοῖ, πρῶτον ἀνέστη
Τρωξάρτης ἐπὶ παιδὶ χολούμενος εἶπέ τε μῦθον:
Ὦ φίλοι, εἰ καὶ μοῦνος ἐγὼ κακὰ πολλὰ πέπονθα
ἐκ βατράχων, ἡ μοῖρα κακὴ πάντεσσι τέτυκται.
εἰμὶ δ' ἐγὼ δύστηνος, ἐπεὶ τρεῖς παῖδας ὄλεσσα.
καὶ τὸν μὲν πρῶτον κατέκτανεν ἁρπάξασα
ἐχθίστη γαλέη τρώγλης ἔκτοσθεν ἑλοῦσα.
τὸν δ' ἄλλον πάλιν ἄνδρες ἀπηνέες ἐς μόρον ἦξαν,
καινοτέραις τέχναις ξύλινον δόλον ἐξευρόντες,
ἣν παγίδα καλέουσι μυῶν ὀλέτειραν ἐοῦσαν
ὁ τρίτος ἦν ἀγαπητὸς ἐμοὶ καὶ μητέρι κεδνῇ.
τοῦτον ἀπέπνιξεν φυσίγναθος ἐς βυθὸν ἄξας,
ἀλλ' ἄγεθ' ὁπλισόμεσθα καὶ ἐξέλθωμεν ἐπ' αὐτοὺς,
σώματα κοσμήσαντες ἐν ἔντεσι δαιδαλέοισι.
ταῦτ' εἰπὼν, ἀνέπεισε καθοπλίζεσθαι ἅπαντας.
καὶ τοὺς μὲν ῥ' ἐκόρυσσεν ἄρης πολέμοιο μεμηλώς,
κνημῖδας μὲν πρῶτα περὶ κνήμῃσιν ἔθηκαν.
ῥήξαντες κυάμους χλωρούς, εὖ τ' ἀσκήσαντες.
οὓς αὐτοὶ διὰ νυκτὸς ἐπιστάντες κατέτρωξαν.
θώρηκας δ' εἶχον καλαμοστεφέων ἀπὸ βυρσῶν.
οὓς γαλέην δείραντες, ἐπισταμένως ἐποίησαν.
ἀσπὶς δ' ἦν λύχνου τὸ μεσόμφαλον, ἡ δέ νυ λόγχη,
εὐμήκεις βελόναι, παγχάλκεον ἔργον ἄρηος.
ἡ δὲ κόρυς, τὸ λέπυρον ἐπὶ κροτάφοισι καρύου.
οὕτω μὲν μύες ἦσαν ἔνοπλοι ὡς δ' ἐνόησαν
βάτραχοι, ἐξανέδυσαν ἀφ' ὕδατος, εἰς δ' ἕνα χῶ-
ἐλθόντες, βουλὴν ξύναγον πολέμοιο κακοῖο (ρον
σκεπτομένων δ' αὐτῶν πόθεν ἡ στάσις, ἤ τίς ὁ θρύλλος.

κῆρυξ

Ergo ſub auroram Mures coïere uocati,
Troxartes quibus orſus ait de funere Nati:
Dira feram quamuis Mures mala ſolus amici
Per Ranas, ſors una tamen mecum excipit omnes.
Tres miſer amiſi triſti diſcrimine Natos.
Inſidijs primum clàm felis adorta peremit,
Ex ipſis raptum generi huic infenſa cauernis.
Fraude graui necuêre uiri crudeliter unum,
Quorum inuenta, dolis eſt lignea machina quædam,
Decipulam dicunt quam factam perdere Mures.
Tertius & patri, & caſtæ matri una uoluptas.
Strangulat hunc imis merſum Pyſignathos undis.
Ergo agite arma feros ſocij moueamus in hoſtes.
Dædaleis & tota cohors ſe muniat armis.
Hæc ait, armari cunctos iubet una uoluntas.
Robora Martis amor, curæ cui bella miniſtrat.
Vnde nouas ocreas ante omnia cruribus aptant,
De uiridi faciunt quas cortice fortè fabarum,
Hi quas rodendo uigiles de nocte cauârant.
Pectus arundineis calamis thoraca gerebat
Contextum arte recens nudatæ è tergore felis,
Cornea ſed clypeum, dat pars auulſa lucernæ.
Haſtam Martis opus quoq; longa miniſtrat ahenum
His acus, & galeæ caua de nuce tegmina fiunt.
Magnanimos uideas Mures hæc arma minari.

Hoc ubi fama docet Ranas, mox amne relicto
Conſilium belli de rebus inire laborant.
At dum perpendunt moueant hunc unde tumultum

κῆρυξ ἐγγύθεν ἦλθε φέρων σκῆπτρον μετὰ χερσί,
τυρογλύφου υἱὸς μεγαλήτορος ἐμβασίχυτρος.
ἀγγέλλων πολέμοιο κακὴν φάτιν, εἶπέ τε μῦθον.
Ὦ βάτραχοι, μύες ὔμμιν ἀπειλήσαντες ἔπεμ-
εἰπεῖν ὁπλίζεσθαι ἐπὶ πόλεμόν τε μάχην τε. (ψαν
εἶδον γὰρ καθ' ὕδωρ ψιχάρπαγα, ὃν κατέπεφνεν
ὑμέτερος βασιλεὺς φυσίγναθος. ἀλλὰ μάχεσθε,
οἵτινες ἐν βατράχοισιν ἀριστῆες γεγάατε.
Ὣς εἰπὼν ἀντέφηνε, λόγος δ' εἰς οὔατα μυῶν
εἰσελθὼν ἐτάραξε φρένας βατράχων ἀγερώχων:
μεμφομένων δ' αὐτῶν φυσίγναθος εἶπεν ἀναστάς.
Ὦ φίλοι οὐκ ἔκτεινον ἐγὼ μῦν οὐδὲ κατεῖδον.
ὀλλύμενον, πάντως ἐπνίγη παίζων παρὰ λίμνην.
νήξεις τὰς βατράχων μιμούμενος, οἱ δὲ κάκιστοι
νῦν ἐμὲ μέμφονται τὸν ἀναίτιον, ἀλλ' ἄγε βουλὴν
ζητήσωμεν, ὅπως δολίους μύας ἐξολέσωμεν,
τοὶ γὰρ ἐγὼν ἐρέω ὥς μοι δοκεῖ εἶναι ἄριστα.
σώματα κοσμήσαντες, ἔνοπλοι στῶμεν ἅπαντες,
ἄκροις παρ χείλεσιν ὅπου κατάκρημνος ὁ χῶρος,
ἡνίκα δ' ὁρμηθέντες ἐφ' ἡμέας ἐξέλθωσι,
δραξάμενοι κορύθων, ὅς τις σχεδὸν ἀντίον ἔλθοι,
ἐς λίμνην αὐτοὺς σὺν ἔντεσιν εὐθὺ βάλωμεν.
οὕτω γὰρ πνίξαντες ἐν ὕδασι τοὺς ἀκολύμβους.
στήσομεν εὐθύμως τὸ μυοκτόνον ὧδε τρόπαιον.
Ὣς ἄρα φωνήσας, ὅπλοις ἐνέδυσεν ἅπαντας
φύλλοις μὲν μαλαχῶν κνήμας ἑὰς ἀμφεκάλυψαν.
θώρηκας δ' εἶχον χλοερῶν πλατέων ἀπὸ τεύτλων.
φύλλα δὲ τῶν κραμβῶν εἰς ἀσπίδας εὖ ἤσκησαν.



Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-120808-p0166-8
DFG

Mures, præco cito pede sceptriger imminet illis,
Qui patre Tyroglypho fuerat satus, Embasichytros.
Nunciat ille minas hostiles talia fando:
O Ranæ bellum graue me præcone minantur,
Vos tentare iubent secum qui prælia, Mures.
Æquoreis mersum Psicharpaga uidimus undis,
Quem Rex cæde tulit Physignathos, ergo tueri
Vos certate, uiget præsens si in pectore uirtus.
Hæc effatus abit, qui uox ubi contigit aures
Ranis, magna metus trepidi fit causa superbis,
Ob cædem quibus iratis Physignathos inquit:
Non ego submersi, uidiúe mori æquore Murem,
O Ranæ ipse tulit ludens in littore mortem,
Æmulus æquandi Ranarum more natatus,
Me necis autorem falsò gens improba fingit.
Ergo dolis usos delendi occasio Mures
Inuenienda, decet periuram excindere gentem
Ipse, quod esse putem non rebus inutile, dicam.
Cunctos muniri solitis nos expedit armis
Ad ripam, præceps ubi terra locum exhibet aptum.
Vt, procul in nos quem mouet impetus acer eundi,
Hunc prensum galea, prope dum ferus imminet hostem
Præcipitem exuuijs spoliatum demus in undas.
Hac iuuet exortes ui suffocare natandi,
Muribus & cæsis nos pulcra trophæa sequentur.
Hæc ubi dixit, amor subit omnibus arma gerendi.
Hinc maluæ folijs circundare crura laborant.
Pro thorace tegunt uirides & pectora betæ,

ἔγχος δ' ὀξύσχοινος ἑκάστῳ μακρὸς ἀρήρει.
ἡ κόρυθες κοχλιῶν λεπτῶν κέρατ' ἀμφικάλυπτον.
φραξάμενοι δ' ἔστησαν ἐπ' ὄχθαις ὑψηλῇσι,
σείοντες λόγχας, θυμοῦ δ' ἔμπλητο ἕκαστος.
Ζεὺς δὲ θεοὺς καλέσας εἰς οὐρανὸν ἀστερόεντα,
καὶ πολέμου πληθὺν δείξας κρατερούς τε μαχητὰς
πολλοὺς καὶ μεγάλους, ἠδ' ἔγχεα μακρὰ φέροντας,
οἷος κενταύρων στρατὸς ἔρχεται, ἠδὲ γιγάντων.
ἡδὺ γελῶν ἐρέεινε, τίνες βατράχοισιν ἀρωγοί.
ἢ μυσὶν ἀθανάτων, καὶ Ἀθηναίην προσέειπεν.
ὦ θύγατερ, μυσὶν ἦρ' ἐπαλεξήσουσα πορεύσῃ:
καὶ γὰρ σοῦ κατὰ νηὸν ἀεὶ σκιρτῶσιν ἅπαντες,
κνίσῃ τερπόμενοι καὶ ἐδέσμασιν ἐκ θυσιάων.
Ὣς ἄρ' ἔφη Κρονίδης· τὸν δὲ προσέειπεν Ἀθήνη:
ὦ πάτερ, οὐκ ἂν πώποτ' ἐγὼ μυσὶ τειρομένοισιν
ἐλθοίμην ἐπαρωγός, ἐπεὶ κακὰ πολλά μ' ἔοργαν.
στέμματα βλάπτοντες καὶ λύχνους εἵνεκ' ἐλαίου.
τοῦτο δέ μου λίην ἔδακε φρένας, οἷον ἔρεξαν.
πέπλον μου κατέτρωξαν, ὃν ἐξύφηνα καμοῦσα,
ἐκ ῥοδάνης λεπτῆς καὶ στήμονα λεπτὸν ἔνησα,
τρώγλας τ' ἐμποίησαν. ὁ δ' ἠπητής μοι ἐπέστη.
καὶ πράσσει με τόκους, τοῦτο χάριν ἐξώργισμαι.
χρησαμένη γὰρ ὕφηνα, καὶ οὐκ ἔχω ἀνταποδοῦναι.
ἀλλ' οὐδ' ὣς βατράχοισιν ἀρηγέμεν οὐκ ἐθελήσω.
εἰσὶ γὰρ οὐδ' αὐτοὶ φρένας ἔμπεδοι, ἀλλά με πρῴ-
ἐκ πολέμου ἀνιοῦσαν ἐπεὶ λίην ἐκοπώθην (την,
ὕπνου δευομένην, οὐκ εἴασαν θορυβοῦντες
οὐδ' ὀλίγον καταμῦσαι, ἐγὼ δ' ἄυπνος κατεκείμην

τὴν κε-

Et folijs habile aptatis fit braßica scutum.
Lancea iuncus erat mucrone tremendus acuto.
Testa caput teneræ circundat idonea conchæ:
Iamq́; petunt summas tentando prælia ripas,
Et uibrant hastas, animi ingens cuilibet ardor.
Territus ad cœli ore Deos en Iupiter arcem
Conuocat, & numerum bellantum, & robur, & iram,
Quamq́; gerant longas humeris altè, indicat, hastas.
Centauri moueant ui quali, aut bella Gigantes.
Suauiter hinc ridens qui Ranas, quiq́; Deorum
Ille iuuent Mures rogat, affaturq́; Mineruam:
Me sata patre putem te Muribus adfore Pallas?
Per secreta tui saltare sacraria templi
Ausos? nidor, & esca iuuant præbentibus aris.
Iupiter hæc, quem sic affata Minerua uicißim:
O pater autor opis uexatis Muribus adsim
Fas erit, unde mouent mihi damna profecta dolorem?
Dum lychnos olei mihi amore, measq́; coronas
Rodunt, illa nimis me quorum audacia turbat.
Fila mihi pulcri triuêre tenerrima pepli,
Quod tenui intexens ego tramam stamine neui.
Omne riget laceris filis, me fœnora poscit
Debita sutor, & instando mihi suscitat iram,
Qui dedit utendam, nequeo quam reddere, tramam.
Verum nec Ranas ideo ipsa iuuare laborem.
Nam sat firma nec his in me mens, forte recenti
Cùm bello defuncta, grauiq́; labore cubarem
Muneredulcis egens somni, non rauca tumultu

τὴν κεφαλὴν ἀλγοῦσα, ἕως ἐβόησεν ἀλέκτωρ.
ἀλλ' ἄγε παυσώμεθα θεοὶ τούτοισιν ἀρήγειν,
μή κέ τις ἡμείων τρωθῇ βέλει ὀξυόεντι.
εἰσὶ γὰρ ἀγχέμαχοι καὶ εἰ θεὸς ἀντίος ἔλθοι.
πάντες δ' οὐρανόθεν τερπώμεθα δῆριν ὁρῶντες.
Ὣς ἄρ' ἔφη τῇ δ' αὖτε πεπείθοντο θεοὶ ἄλλοι
πάντες ὁμῶς δὲ ἀολλέες ἤλυθον εἰς ἕνα χῶρον,
κὰδ δ' ἦλθον κήρυκε τέρας πολέμοιο φέροντε,
καὶ τότε κώνωπες μεγάλας σάλπιγγας ἔχοντες,
δεινὸν ἐσάλπιζον πολέμου κτύπον, οὐρανόθεν δὲ
ζεὺς κρονίδης βρόντησε τέρας πολέμοιο κακοῖο.
Πρῶτος δ' ὑψιβόας, λειχήνορα οὔτασε δουρὶ
ἑσταότ' ἐν προμάχοις κατὰ γαστέρα εἰς μέσον ἧπαρ.
κὰδ δ' ἔπεσεν πρηνὴς, ἁπαλὰς δ' ἐκόνισεν ἐθείρας.
τρωγλοδύτης δὲ μετ' αὐτὸν ἀκόντισε πηλείωνα.
πῆξεν δ' ἐν στέρνῳ στιβαρὸν δόρυ, τὸν δὲ πεσόντα.
εἷλε μέλας θάνατος, ψυχὴ δ' ἐκ σώματος ἔπτη.
σευτλαῖος δ' ἄρ' ἔπεφνε βαλὼν κέαρ ἐμβασίχυτρον,
ἀρτοφάγος δὲ πολύφωνον κατὰ γαστέρα τύψεν.
ἤριπε δὲ πρηνὴς, ψυχὴ δὲ μελέων ἐξέπτη.
λιμνόχαρις δ' ὡς εἶδεν ἀπολλύμενον πολύφωνον,
τρωγλοδύτην πέτρῳ μυλοειδεῖ τρῶσεν ἐπιφθὰς.
αὐχένα πὰρ μέσον, τὸν δὲ σκότος ὄσσ' ἐκάλυψεν.
λειχήνωρ δ' αὐτοῖο τιτύσκετο δουρὶ φαεινῷ,
καὶ βάλεν οὐδ' ἀφάμαρτε καθ' ἧπαρ, ὡς δ' ἐνόησε
κραμβοφάγος ὄχθαισι βαθείαις ἔμπεσε φεύγων.
ἀλλ' οὐδ' ὣς ἀπέληγεν ἐν ὕδασιν, ἤλασε δ' αὐτόν.
κάππεσε δ' οὐκ ἀνένευσεν, ἐβάπτετο δ' αἵματι λίμνη
πορφυρέῳ,

Turba quiesse tulit, sic noctem insomnis agebam,
Meq; dolor capitis, dum clanguit ales, habebat.
Verùm age Dij neutris dignemur adesse iuuando,
Ne nostrum telo quem uulneret ictus acuto:
Comminus arma gerent, uel si Deus obuius ibit.
Nos iuuet è cœli speculari culmine pugnam.
Sic ait. Huic alij non Dij parêre recusant.
Congregat unde locum subitò congressus in unum.
Iamq; duo belli præcones signa ferebant,
Et culices uastos lituos per inane trahebant,
Signabantq; graui pugnæ clangore tumultum,
Ipse tonante simul quem Iupiter axe iuuabat.
Per iecur Hypsiboas uictor Lichenoris hastam
Traijcit, in primo dum suscipit agmine pugnam,
Polluit ipse cadens tenerum atro puluere crinem,
Troglodytes iaculo dehinc Peliona peremit,
Cui ualidam in medium ferus hastam pectus adegit.
Excipit hunc mors nigra domans in corpore uitam.
Seuthlæus feriens necat inde cor Embasichytro.
Artophagus uentrem Polyphoni sauciat ictu.
Pronus humi unde labat, moxq; artus uita relinquit.
Limnocharis, quia fata notat pereuntis amici,
Troglodyten saxo quatit, haud mora tarda molari
In medio collo, hinc oculi ambo hausêre tenebras.
Lichenor teretem ausa notans huc dirigit hastam,
Quæ nec aberrabat, partemq; per epatis ibat.
Crambophagus cernens id in imas desilit undas,
Non impunè tamen, sub aquis quia percutit ictu

πορφυρέῳ, αὐτὸς δὲ παρ' ἠϊόν' ἐξετανύσθη
χορδῇσιν λιπαρῇσί τε πορνύμενος λαγόνεσσιν.
λιμνίσιος δ' ὄχθαισι τυρόγλυφον ἐξενάριξε.
πτερνογλύφον δ' ἰδὼν καλαμίνθιος, εἰς φόβον ἦλ-
ἥλατο δ' ἐς λίμνην φεύγων τὴν ἀσπίδα ῥίψας. (θεν.
ὑδρόχαρις δέ τε πέφνε πτερνοφάγον βασιλῆα,
χερμαδίῳ πλήξας κατὰ βρέγματος, ἐγκέφαλος δὲ
ἐκ ῥινῶν ἔσταζε, παλάσσετο δ' αἵματι γαῖα.
λειχοπίναξ δ' ἔκτεινεν ἀμύμονα βορβοροκοίτην
ἔγχει ἐπαΐξας, τὸν δὲ σκότος ὄσσ' ἐκάλυψε.
πρασσοφάγος δ' ἰδὼν, ποδὸς εἵλκυσε κνισσοδιώκτην,
ἐν λίμνῃ δ' ἀπέπνιξε κρατήσας χειρὶ τένοντα.
ψιχάρπαξ δ' ἤμυν' ἑτάρων περὶ τεθνειώτων,
καὶ βάλε πηλούσιον κατὰ νηδύος εἰς μέσον ἧπαρ.
πίπτε δέ οἱ πρόσθεν. ψυχὴ δ' ἄϊδός δε βεβήκει.
πηλοβάτης δ' ἐσιδὼν, πηλοῦ δράκα ῥίψεν ἐπ' αὐτόν.
καὶ τὸ μέτωπον ἔχρισε, καὶ ἐξετύφλου παρὰ μικρόν.
θυμώθη δ' ἄρα κεῖνος ἑλὼν δέ γε χειρὶ παχείῃ
κείμενον ἐν πεδίῳ λίθον ὄβριμον ἄχθος ἀρούρης,
τῷ βάλε πηλοβάτην ὑπὸ γούνατα, πᾶσα δ' ἐκλάσθη
κνήμη δεξιτερὴ, πέσε ὕπτιος ἐν κονίῃσι.
κραυγασίδης δ' ἤμυνε, καὶ αὖθις βαῖνεν ἐπ' αὐτόν.
τύψε μέσην δ' αὐτὸν κατὰ γαστέρα, πᾶς δέ οἱ εἴσω
ὀξύσχοινος δῦνε. χαμαὶ δ' ἔκχυτο ἅπαντα
ἔγκατ', ἐφελκομένῳ ὑπὸ δούρατι χειρὶ παχείῃ.
σιτοφάγος δ' ὡς εἶδεν ἐπ' ὄχθῃσιν ποταμοῖο
σκάζων ἐκ πολέμου, ἀνεχάζετο τείρετο δ' αἰνῶς.
ἥλατο δ' ἐς τάφρον, ὅπως φύγῃ αἰπὺν ὄλεθρον.

Idem uictor, & extincti cruor inficit amnem,
Qui quoniam casu mortem prope littus obiuit,
Et pingues uenas huic fluctus, & ilia iactant.
Limnisius uitaq; Tyroglyphon orbat, & armis.
Pternoglyphum cernens Calaminthius extimet hostē,
Abijciensq; metu clypeum celer insilit undas.
Pternophago Hydrocharis uitam necis eripit autor,
Ceruici illidens graue saxum, hinc sparsa cerebri
Per nares pars est, & terra cruore madebat.
Lichopinax uacuum sed crimine Borborocœten
Contorquens hastam ferit, hinc mors occupat illum.
Praßophagus prensum pede mergens Cnissodioctem
Amne, manuq; tenens collum suffocat in undis.
Psicharpax socios ulcisci cæde peremtos
Ardens per iecur ecce ferit Pelusion armis,
Qui cadit ante pedes, animam niger excipit orcus.
Pelobates notat, atq; luti coniectat in hostem
Massam, & commaculans faciem propè lumine priuat,
Cui mouet hic iram pudor, ingenti unde prehendit
Grande manu saxū mox, quod graue campus habebat,
Quo dum Pelobaten petit, ictu fracta supinum
Tibia dextra pedum collabi in puluere cogit.
Craugasides uerò ire parat mox ultor in hostem,
Cui mediam iunco penetrante secabat acuto
Aluum, effusa ferunt huic intestina labanti
In terram, cùm crassa manus longam intulit hastam,
Sitophagus quam forte notans in margine cædem
Bella fugit claudo pede, quem metus acris agebat,

τρωξάρτης δ᾽ ἔβαλεν φυσίγναθον ἐς πόδα ἄκρον.
ὦκα δὲ τειρόμενος ἐς λίμνην ἥλατο φεύγων.
τρωξάρτης δ᾽ ὡς εἶδεν ἔθ᾽ ἡμίπνουν προπεσόντα.
καὶ οἱ ἐπέδραμεν αὖθις ἀποκτάμεναι μενεαίνων.
πρασσαῖος δ᾽ ὡς εἶδεν ἔθ᾽ ἡμίπνουν προπεσόντα
ἦλθε διὰ προμάχων καὶ ἀκόντισεν ὀξέϊ σχοίνῳ.
οὐδ᾽ ἔρρηξε σάκος, χέτο δ᾽ αὐτοῦ δουρὸς ἀκωκή.
ἦν δέ τις ἐν μύεσσι νέος παῖς ἔξοχος ἄλλων.
ἀγχέμαχος φίλος υἱὸς, ἀμύμονος ἀρτεπιβούλου
ὄρχαμος, αὐτὸν ἄρη φαίνων κρατερὸς μοριδάρπαξ.
ὃς μόνος ἐν μύεσιν ἀριστεύεσκε μάχεσθαι.
στῆ δὲ παρὰ λίμνην γαυρούμενος οἶος ἀπ᾽ ἄλλων.
στεῦτο δὲ πορθήσειν βατράχων γένος αἰχμητάων.
καὶ νύ κεν ἐξετέλεσσεν, ἐπεὶ μεγὰ οἱ σθένος ἦεν.
εἰ μὴ ἄρ᾽ ὀξὺ νόησε πατὴρ ἀνδρῶν τε, θεῶν τε.
καὶ τότ᾽ ἀπολλυμένους βατράχους ᾤκτειρε κρονίων
κινήσας δὲ κάρη, τοίην δ᾽ ἐφθέγξατο φωνήν.

Ω πόποι ἦ μεγα ἔργον ἐν ὀφθαλμοῖσιν ὁρῶμαι.
οὐ μικρόν μ᾽ ἔπληξε μοριδάρπαξ κατὰ λίμνην,
ἐναίρειν βατράχους βλεμεαίνων, ἀλλὰ τάχιστα
παλλάδα πέμψωμεν πολεμόκλονον, ἠδὲ καὶ ἄρην.
οἵ μιν ἀποσχήσουσι μάχης κρατερόν περ ἐόντα.

Ως ἄρ᾽ ἔφη κρονίδης, ἄρης δ᾽ ἀπαμείβετο μύθῳ.
οὔτ᾽ ἄρ᾽ ἀθηναίης κρονίδη σθένος, οὔτε ἄρηος
ἰσχύσει βατράχοισιν ἀρηγέμεν αἰπὺν ὄλεθρον.
ἀλλ᾽ ἄγε πάντες ἴωμεν ἀρηγόνες, ἢ τὸ σὸν ὅπλον
κινείσθω μέγα τιτανοκτόνον ὀβριμοεργόν
ᾧ τιτᾶνας πέφνες ἀρίστους ἔξοχα πάντων,

ἐγκέλα-

In fossam saliens ut mota pericula uitet.
Troxartes ferit & Psysignathon in pede summo,
Qui licet inde fugam tentârit inire sub undas,
Hunc cùm semianimem tamen ille natare uideret,
Insultare recens parat ipsi, & demere uitam.
Semisepulta uidet socium sed membra trahentem,
Et petit ante aciem iunco Prassæus acuto
Hostem, sed scuti cratem ille secare nequiuit.
Mus erat en iuuenis, quo non præstantior alter,
Artepibuli armis clari haud ingloria proles,
Ipsum quem Martem esse putes, Meridarpaga dicunt,
Omnibus unus erat qui belli insignior usu.
Stabat is ad stagni, & reliquis uicinior undas,
Excidiumq; minabatur lacrimabile Ranis,
Remq; secuta fides, tantum illi roboris, esset,
Nî pater ausa Deûmq;, hominumq; stupenda notasset
Et mala Ranarum miseratus acerba fuisset.
Ipse caput mouet, & talem incipit edere uocem:
O Dij triste notant oculi hoc opus esse futurum,
Stans non ipse parum Meridarpax terret ad amnem,
Magna trucidandi Ranas cui mota cupido,
Pallada me mitti, seu Martem iudice fas est,
Egregium pugnare uetent qui robore Murem.
Iupiter hæc, cui Mars responsa dat ore uicißim:
Nec uim Pallas habet, nec ego in certamina tantam
Exitij poßimus ut his auertere causam.
Verùm age nos omnes agat una cupido iuuandi,
Siue tuum spargas, quo olim occubuêre Gigantes,

ἐγκέλαδον τ' ἐπέδησας, ἴδ' ἄγρια φῦλα γιγάντων.
ὣς ἄρ' ἔφη, κρονίδης δ' ἔβαλε ψολόεντα κεραυνόν.
πρῶτα μὲν ἐβρόντησε, μέγαν δ' ἐλέλιξεν ὄλυμπον.
αὐτὰρ ἔπειτα κεραυνὸν δειμαλέον διὸς ὅπλον.
ἧκ' ἐπιδινήσας, ὁ δ' ἄρ' ἔπτατο χειρὸς ἄνακτος;
πάντας μὲν ῥ' ἐφόβησε βαλὼν βατράχους τε μύας τε
ἀλλ' οὐδ' ὣς ἀπέληγε μυῶν στρατός, ἀλλ' ἔτι μᾶλλον
ἵετο πορθήσειν βατράχων γένος αἰχμητάων,
εἰ μὴ ἀπ' οὐλύμπου βατράχους ἐλέησε κρονίων,
ὅς ῥα τότε βατράχοισιν ἀρωγοὺς εὐθὺς ἔπεμψεν.
ἦλθον δ' ἐξαίφνης νωτάκμονες ἀγκυλοχῆλαι,
λοξοβάται στρεβλοὶ ψαλιδόστομοι ὀστρακόδερμοι,
ὀστοφυεῖς πλατύνωτοι, ἀποστίλβοντες ἐν ὤμοις.
βλαισοὶ χειροτένοντες, ἀπὸ στέρνων ἐσορῶντες.
ὀκτάποδες δικάρηνοι ἀχειρέες, οἳ δὲ καλεῦνται
καρκίνοι, οἵ ῥα μυῶν οὐρὰς στομάτεσσιν ἔκοπτον,
ἠδὲ πόδας, καὶ χεῖρας, ἀνεγνάμπτοντο δὲ λόγχαι.
οὓς καὶ ὑπέδεισαν δειλοὶ μύες οὐδ' ὑπέμειναν.
ἐς δὲ φυγὴν ἐτράποντο, ἐδύετο δ' ἥλιος ἤδη,
καὶ πολέμου τελετή, μονοήμερος ἐξετελέσθη.

τέλος τοῦ ὁμήρου βατραχομυομαχίας.

Telum, quoq; potens Titanum excisa propago est.
Enceladum uinxti, & genus horum immane cathenis.
Sic ait. At rutili spargendo fulminis ignem
Iupiter antè tonans magnum tremefecit Olympum,
Vi torquente suum cùm formidabile telum
Iecit, idemq́; manu missum iaculante uolauit.
Maximus hinc Ranas, & Mures terror agebat.
Muribus haud pugnæ sed dira cupido quieuit.
Ardent inuisam Ranarum excindere gentem,
Sed miseratus opem fert his moderator Olympi,
Ocyus auxilij qui spem, uiresq́; ministrat.
Nam ciet, incudes quorum uelut ardua gestant
Dorsa, manus uncæ, quibus & uestigia gressum
Obliquant, & acus peracutas ora minantur.
Purpureamq́; cutem ostentant, testa ossea munit,
Lataq́; terga, notis humeri rutilantibus ardent,
Blæsi, neruosæq́; manus, à pectore spectant
His oculi, octopedes, manuumq́; labore prehendi
Haud facili possunt, hos dicunt nomine Cancros.
Muribus hi caudas incidunt ore, pedesq́;,
Atq; manus, aciem hastarum sed dura retundunt
Dorsa, graui Mures frustra quas robore torquent,
Inq; fugam uersi sunt, & Sol occidit umbris.
Vno gesta die sic prælia tanta quièrunt.

ΤΕΛΟΣ.

## PHILIP. MELANTH.

Mus breuis & saliens in gurgite Rana palustri,
Dum nulla caussa prælia stulta cient:
Fulmineo pugnas Iouis ira fragore diremit,
Et tandem fugiens agmen utrumq; perit:
Sic modo dira serunt ex bellis bella Tyranni,
Nec res, sed cœcos armat utrinq; furor.
Pestiferiq; magis Thebana Sphinge Sophistæ
Verba uenenato friuola felle linunt.
Aspicit hæc uindex oculis Deus omnia iustis,
Nec, graue cum sparget fulmen, inermis erit.
Gnate Dei bonitate tua mala tanta leuato,
Et serues cœtus Christe regasq; pios.

## ERRATVM.

Pag. A. facie 15. Versu 18. lege pro iam à.

Pag: B. facie 12. post Distichum tertium adde hos uersus.

Tanta uiro nulli contingunt, quanta quis optat,
Fert impoßibili sæpe labore malum.

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-120808-p0179-3

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-120808-p0180-5
DFG

Cd 562
X2203 03A
m.a.
Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-120808-p0181-1

Universitäts- und Landesbibliothek Sachsen-Anhalt
urn:nbn:de:gbv:3:1-120808-p0182-6

# THEOGNIDIS, PYTHAGORÆ, Phocylidis, Tyrtæi, SOLONIS, ET ALIORVM POEMATA GRÆCA.

ITEM:

HOMERI PVGNA RANARVM ET MVRIVM, SINGVLA, VT LEctor eruditus, & candidus fatebitur, accuratè, & perspicuè reddita carmine Latino ... ago,

Æ ... tradunt,

... labor.

M. HIERONYMO OSIO Turingo P. L.

ADDITA EST VITA PLINII SECVNDI AB EODEM DEscripta carmine Elegiaco.

VITEBERGAE EXCVDEbat Laurentius Schuenck.
1562.